ALIX 


JACQUES MARTIN

ʿΟ ʾΑθηναιος παις

Traduction de « L'Enfant grec » par une classe de troisième année



CASTERMAN



L'ENFANT GREC

Adapté en grec par 7 élèves de 3e :
Diviné Claude
Hofbauer Christine
Nehlig Virginie
Stenger Régis
Schnepp Régine
Walter Gilles
Weber Katia
sous la conduite de leur professeur,
Mme Raphaële RINGELE.

Nous remercions très vivement l'auteur de nous avoir autorisés à faire ce travail,
M. l'inspecteur Schilling et M. Ritter, le Principal du collège, de nous avoir soutenus,
Mme Guglielmi, professeur au collège, pour sa deuxième correction,
Mme Dubois, professeur à l'Institut de Grec de Strasbourg, pour sa correction définitive,
ainsi que tous ceux qui nous ont aidés à l'élaboration de ce projet.

Lettre des élèves à de futurs camarades

« Nous sommes un groupe de sept élèves de 3e d'un petit collège d'Alsace.

Nous avons traduit ce livre dans un but pédagogique afin que d'autres élèves envisagent les études helléniques sous un angle plus attrayant. Nous y avons travaillé pendant notre deuxième année de grec en nous répartissant équitablement le travail : chacun d'entre nous avait environ sept pages à traduire.

Nous les corrigions une première fois avant de remettre les versions améliorées au professeur pour la mouture définitive.

Bien sûr, nous avons rencontré un certain nombre de difficultés : nous ne disposions que du matériel minimal (dictionnaire français/grec et nos cours). Les outils mieux adaptés à notre tâche figurent à la panoplie des lycéens et des étudiants hellénistes. D'autre part, le programme ne nous permettait pas toujours de suivre le fil de la bande dessinée car certains points, comme les subjonctifs, les passifs ou les optatifs, n'ont été vus qu'en cours d'année ; nous avons donc été obligés de revenir en arrière pour traduire les bulles laissées en suspens quand les connaissances grammaticales manquaient.

D'autres points ne seront d'ailleurs qu'au programme de 2e. Enfin nos connaissances encore beaucoup trop limitées de la langue et de la littérature grecques ont fait que parfois nos tournures sont maladroites, simplifiées par rapport au texte initial (tout en respectant le sens), ou utilisent un vocabulaire peu classique.

Toutefois ces quelques difficultés s'estompent devant les nombreux avantages tirés de cette expérience. En effet, nous avons acquis du vocabulaire et des notions de civilisation nouveaux, d'une manière différente des habituels cours de grec, le tout dans une bonne ambiance de travail. Enfin, le souvenir que nous a laissé ce travail d'équipe nous permettra de garder de bons contacts et, qui sait, de suivre ensemble les traces d'Alix en Grèce.

Jacques Martin, à travers 19 albums, nous fait vivre les aventures d'Alix et de son ami fidèle, Enak. De ce fait, il nous emmène en différents lieux du monde où se déroulent les intrigues. Dans toute la collection des aventures d'Alix, trois livres seulement parlent de la Grèce antique : *L'Enfant grec, Le Dernier Spartiate* et *Le Cheval de Troie.* Leur contexte est différent des autres ouvrages. En effet, dans *Le Fils de Spartacus, L'Empereur de Chine, Le Spectre de Carthage...* l'auteur met en scène des personnages historiquement connus, dans des lieux réels. Dans *L'Enfant grec,* rien de tel. Le livre s'ouvre sur un marché d'esclaves où Alix et son ami sont vendus aux enchères...

Qu'a donc en tête leur mystérieux acquéreur ? Que se trame-t-il donc derrière les Longs Murs d'Athènes ? »

Préface

« La préface qui introduit par ailleurs cet ouvrage me dispense de revenir longuement sur la gestation et les conditions de réalisation de cette traduction de *L'Enfant grec* dans la langue de Platon. De même, je ne dirai qu'en passant la grande joie que j'ai éprouvée lorsque M^me^ Ringelé a pris contact avec moi pour m'exposer son projet qui, au départ, avait encore les contours quelque peu flous mais qui, à mesure que le travail progressait, s'est précisé et affermi.

L'essentiel pour moi est ailleurs. Il est dans le caractère tout à fait exemplaire de cette réalisation qui a permis la synergie de forces qui généralement travaillent sans se rencontrer — à moins qu'elles ne s'ignorent délibérément.

Voilà des élèves enthousiastes qui entreprennent un travail suscité et guidé par un professeur dynamique et exigeant.

Celui-ci trouve une collègue disponible avec laquelle s'engage une collaboration active et confiante. Toutes les deux travaillent dans un collège a priori peu porté spontanément vers les études grecques. Mais le chef d'établissement est là, attentif à développer l'enseignement des langues classiques, précisément parce que le collège se trouve un peu en dehors des principaux circuits culturels : il appuie le projet de toute sa faveur. Voilà un éditeur qui s'intéresse à cet effort commun et accepte de publier cette traduction.

Voilà enfin un professeur d'université qui, malgré l'étendue et la diversité de ses tâches, accepte de relire et d'amender le travail encore hésitant d'hellénistes en herbe sur lequel tant de fées bienveillantes se sont penchées.

Certes, elles n'ont sans doute pas réussi à atteindre la perfection. Etait-ce possible ? Etait-ce même souhaitable dès lors que cette traduction se présente explicitement comme un travail d'élèves aidés par leur professeur et dont M^me^ DUBOIS, maître de conférences à l'Université des Sciences Humaines de Strasbourg, a bien voulu réviser la copie sans en bouleverser totalement la texture ? Pour ma part, je dirai sans arrière-pensée que s'il reste quelques scories ou maladresses, elles sont la trace de l'effort d'enfants encore en pleine phase d'apprentissage. Elles sont le gage de leur sincérité et de leur courage : personne, je pense, n'aura la cruauté de leur reprocher de n'être pas nés à Athènes du temps de Périclès.

Pour moi donc, quand je considère la réalisation, je suis tenté de paraphraser une préface célèbre en disant qu'« une telle entreprise n'eut jamais d'exemple ».

Son exécution n'aurait-elle point d'imitateurs ? J'espère bien qu'à l'instar de M^me^ Ringelé, d'autres professeurs de grec entreprendront des travaux analogues même si — réalisme oblige — un éditeur ne peut à chaque fois s'investir dans un pareil effort. Mais c'est au prix de cette pédagogie intelligemment active que nous pourrons donner une impulsion nouvelle à des études qui ne sont réservées ni à une élite ni uniquement à de futurs professeurs de lettres. Au même titre que le latin, le grec est une langue qui développe l'esprit d'observation et de rigueur, le sens de la subtilité et de l'agilité intellectuelle, le goût de la concision et de la propriété des termes. Et pour ceux qui acceptent d'en poursuivre l'étude, il donne l'accès direct à des œuvres d'écrivains, de poètes et de dramaturges qui, peut-être plus encore que les Latins, ont donné un infléchissement décisif à notre civilisation et à notre culture.

Ce m'est donc une tâche bien agréable de remercier chaleureusement tous les acteurs de cette belle histoire : sans eux, rien ne se serait passé et *L'Enfant grec* aurait désespérément continué de parler français. Mais comme il arrive souvent, ce sont les acteurs d'une histoire qui les dépasse : ils ont ouvert une brèche qui, espérons-le, va s'élargir peut-être en route sur laquelle on verra beaucoup de jeunes hellénistes devenir, en avançant, des adultes cultivés, heureux et comblés. »

Gilbert Schilling
Inspecteur Pédagogique Régional
de Lettres de l'Académie de Strasbourg.

JACQUES
MARTIN

Ὁ Ἀθηναιος παις

Traduction de « L'Enfant grec » par une classe de troisième année,
du collège de Drulingen en Alsace.
Sous la direction de Mme R. RINGELE, enseignante,
et la supervision de Mme Ch. DUBOIS,
maître de conférences à l'U.S.H. Strasbourg II.




CASTERMAN


Ἐν μὲν ἐκείνῳ τῷ κόλπῳ ἐν ᾧ οὕτω πολλοὶ καὶ ἔνδοξοι ἄνδρες κάλλιστα ἔργα ἔπραξαν, ἐν δὲ τῇ κυανῇ θαλάττῃ ἐκείνῃ δι' ἧς οὕτω πολλαὶ καὶ ταχεῖαι νῆες ἔπλευσαν, φαίνονται τοῖς εἰσπλέουσιν αἱ εἰκόνες ἡ μὲν τοῦ Πειραιῶς, ἡ δὲ τῆς Ἀκροπόλεως, πόρρω ὑπὲρ αὐτοῦ λαμπούσης.



Ὅταν δ' ὁ ἥλιος ἐπιλάμπῃ, ὄχλος πυκνός τε καὶ ποικίλος περὶ τὰ τοῦ λιμένος καπηλεῖα περιπατεῖ. Ἐν γὰρ τῇ ἀγορᾷ δοκεῖ ἑορτὴ εἶναι.


Πάντων δὲ τῶν ὠνίων μάλιστα περιμαχητόν ἐστιν ἄνθρωπος. Καὶ οἱ δούλους πωλοῦντες πλεῖστον ἀργύριον πράττονται.


Ἐκείνῃ οὖν τῇ ἡμέρᾳ, διὰ τὸν θόρυβον οὐδεὶς προσέχει τῷ ἅρματι διὰ τῶν πυλῶν τῶν τοῦ Κενταύρου εἰσιόντι.


Ἀποχωρήσατε, ἀποχωρήσατε



Μὰ τὸν Δία. Ἐκεῖ. Ἐκεῖνο τὸ μέγα βῆμα εἶδες;
Ὡς πλησιαίτατα πρόσελθε.



... Καὶ νῦν ὁρᾶτε ἀγώγιμά τινα πλείστου ἄξια. Ἐκεῖνοι γὰρ νέοι τε καὶ ὑγιεῖς δοῦλοί εἰσιν. Ὁρᾶτε δ' ἐκείνας τὰς γυναῖκας — ὡς μὲν ἰσχυραὶ αἱ Θρᾷτται, ὡς δ' ἁπαλαὶ τὸν χρῶτα αἱ Σύραι —, ἐκείνους δὲ τοὺς Αἰθίοπας ὡς ἔρρωνται. Αὐτοὺς οὖν διασκεψάμενοι θαυμάσετε.


Ὁρᾶτε νῦν καὶ τὼ δούλω ὧν ἀπεστέρησα, πολλὰ χρήματα δούς, Φοίνικας ἐμπόρους τινάς, σφόδρα αὐτῶν ἐπιθυμοῦντας. Ἐγὼ δὲ ῥᾳδίως ἂν αὐτοὺς καὶ ἐν τῇ Ἀλεξανδρείᾳ καὶ ἐν τῇ Δήλῳ πλείστου ἐπώλησα· νῦν δ' ὑμῖν, ὦ ἄνδρες Ἀθηναῖοι, οἳ περὶ τῶν τιμίων μάλιστα ἐπαίετε, τοὺς ἐξαιρέτους δούλους τούτους ἐτήρησα. Ἀλλὰ πρὶν αὐτὼ ἀποκρύπτειν, ἐγώ...



Τίς σοι ἀρέσκει τῶν δούλων, ὦ γενναιότατε;
Πόσου;
Πόσου πωλεῖς τώδε τὼ δούλω;


Σύνηθές ἐστιν ἐὰν αὐξηθῆναι τὰς τιμάς. Ὅμως δέ... Τώδε ἑνὸς πωλῶ ταλάντου.
Κλεπτὴς μὲν εἶ· δώσω μέντοι τὸ ἀργύριον.


Ἄγε δή, Τιμόλαε, καταθὲς τούτῳ τὸ ἀργύριον καὶ ἐπάναγε τοὺς παῖδας. Ἔπειτα δ' αὐτῷ τῷ ἅρματι δήσεις.




Ἰδοῦ.



Ἴωμεν



Δεῖ ἡμᾶς ἀφικέσθαι πρὶν ἄγαν καῦμα εἶναι. Ἔλασον οὖν τὴν συντομωτάτην.
Καλά γε κέκτησαι. Ἀρά με βούλει τοὺς δούλους σου στίξαι;


Ἥκιστα. Ὡς αἰσχρὰ λέγεις... Φεῦ, ἆρ' ἀεὶ καὶ ἐν ταῖς ἡμερωτάταις πόλεσι βαρβαρικοὶ περιέσονται τρόποι;
Ἀλλ' ἔκστηθι. Ἐμπόδων γὰρ εἶ τοῖς προιοῦσιν.



Ἀλλ' ἐὰν ἀποδρῶσιν οἱ σοὶ δοῦλοι, οὔποτε πάλιν ἁλώσονται. Καίτοι, οὕτω νέους ὄντας, πλείστου οἶμαι σὲ πρίασθαι αὐτούς.
Οὐ μ' ἀποφεύξονται.


Ἔα, ἀπόβλεψον εἰς ἐκείνους· Δούλους γὰρ ἕλκουσι δύο παρ' ὁδὸν οὗ σκιά ἐστιν οὐδεμία. Οἱ δὲ μέλλουσιν ἀποθανεῖσθαι.
Οὐδὲν διαφέρει· ἐκεῖνοι γὰρ οὕτω πλούσιοί εἰσιν ὥστ' ἄλλους τινὰς ὠνεῖσθαι.





Ὦ Ἄλιξ, τοῦ καύματος. Ἔγωγε δὲ σφάλλομαι.
Φέρε, θάρρει, θάρρει.


Ἐπίστηθι, ὦ δέσποτα· ὁ γὰρ φίλος μου κακῶς ἔχει καὶ ἀποπνίγεται... Ὦ δέσποτα, δέσποτα...



Ἐλέησον.


Ἔναξ!?.


Ἐπίστησον τὸ ἅρμα, ἐπίστησον.


Ἀᾶᾶ.


Ἐπίστησον εὐθὺς τὸ ἅρμα· εἰ δὲ μή, σὲ ἀπάγχω.
Τιμόλαε, ἄγε, ταχέως ὑπάκουσον αὐτοῦ.


Ἄναξ.
Μηδαμῶς. Μὴ ἐπιλάβῃ αὐτοῦ,
Ἀλλά... Εἶεν... ὑπακούω.



Ὦ
Ἐπιμένετέ νυν. Ἐγὼ γὰρ πάντ' εἶδον· οὗτοι οἱ δοῦλοι ἐπανέστησαν. Οὓς κολάσομεν.


Τίνες οὖν εἰσί; Σκύθαι... Οὐκ ἀναγκαῖόν ἐστίν· ἐγὼ γὰρ τούτων ἐπιμεληθήσομαι.
Ἀλλ' ἡμῶν τόδ' ἔργον ἐστίν.


Χάριν μὲν ὑμῖν οἶδα, παντελῶς δὲ ἱκανός εἰμι τὰ ἐμὰ πράγματα μόνος κατορθοῦν. Ἐννοήσετε γὰρ τοῦτο.


Σύ, ὦ ξανθέ, ἐπεὶ οὕτω σφόδρα βούλει τῷ ἑταίρῳ βοηθεῖν, αὐτὸν οἴσεις.
Ἀκούεις;
Ἀκούω.



Ἔα, οὐ μακρὰν πορεύσονται ἐν τῷ καύματι τῷδε.
Ἀλλὰ ταῦτ' οὐκέθ' ἡμῖν προσήκει. Ἀνέλθωμεν οὖν εἰς σκιάν.



'Ολίγῳ δ' ὕστερον 'Αθήνησι, παρελαυνόντων αὐτῶν διὰ τῆς ἀγορᾶς...
Μηκέτι φέρε τὸν ἑταῖρον. Νῦν γάρ, οἶμαι, δύναται αὐτὸς βαίνειν.
Τίς ἐστιν ἐκεῖνος ὁ ἀνήρ;
Λέγεται πάνυ πλούσιος εἶναι.


'Ρωμαῖός γ' ἐστιν, ὡς ἐμοὶ δοκεῖ.
Τῷ ὄντι· καὶ ἐξ ὀλίγου μὲν ἐνθάδ' ἥκει, ἤδη δ' εὐδοκιμεῖ καὶ ἐλλόγιμος γέγονε.'Ως δεινὸς ὁ ἄνθρωπος.
Τοῖς γὰρ χρήμασι πάντ' ἔξεστι ποιεῖν, καὶ δὴ καὶ νέους δούλους ὥσπερ ἐκείνους κτᾶσθαι.


Πάνυ μὲν οὖν."Ομως δὲ τὰ χρήματα τὴν φιλίαν οὐκ ἀεὶ ἱκανά ἐστιν ἐγείρειν. Τούτῳ δέ τι παράδοξόν τε καὶ χαρίεν ὑπάρχει. 'Αλλ' οὔπω οἶδα πότερον τοῦτ' ἀγαθὸν ἢ κακόν ἐστιν.


'Εν δὲ τῷ μεταξύ, τὸ ἅρμα ἐκ τῆς ἀγορᾶς ἤδη ἀπεχώρησε.
Χαῖρε, Πετρίδα.
Εἴθ' οἱ θεοί σε φυλάξειαν, ὦ δέσποτα.


Τέλος δέ...
'Αφίγμεθα, Τιμόλαε. 'Επιμελήθητι δὴ τῶν ἵππων.
Σφὼ δ' ἐμοὶ σπέσθε.
Ναί, ὦ δέσποτα.


Τῇδ' ἔλθετε.



Νῦν προτείνατε τὰς χεῖρας."Ωρα γάρ ἐστιν ὑμῖν ἐκ τῶν δεσμῶν λυθῆναι."Ιστε γὰρ ὅτι οὐ μέλλω κακὰ ποιήσειν ὑμᾶς.



Τεκμήριον δὲ τούτου τόδ' ἐστίν.


Βαβαί, ὅσα ποτὰ καὶ σιτία. Ἔναξ, μὴ οὕτω καταπίῃς. Μέλλεις γὰρ πνίγεσθαι. Ἔναξ.



Συγγνώμην αὐτῷ σχές, δέσποτα. Μαλὰ γὰρ ἠσθένει ἐν τῷ καύματι.
Θαυμαστόν ἐστιν, Αἰθίοπί γ' ὄντι. Ἄμετρον μέντοι ἦν τὸ θερμόν.



Μμμμ... Ἐκ τοσούτου οὐχ οὕτως ἡδέα σιτία ἐφάγομεν. Χάριν σοι ὀφείλω.
Ὕστερον χάριν ἀποδώσεις, ὅταν περὶ πάντων ἀλλήλοις ὁμολογήσωμεν.


Καὶ ὀλίγῳ ὕστερον...
Ταύτῃ μοι ἀκολουθήσατε.


Ἐν τούτῳ τῷ οἰκήματι ἀναπαύεσθαι δυνήσεσθε. Ἐνθάδε γάρ εἰσι λεκάναι τε καὶ ὕδωρ, θῆκαί τε καὶ κλῖναι, χαλκία τε καὶ σκεύη, τὰ ἐπιτήδεια. Ὁ μὲν γὰρ Τιμόλαος ὑμῖν τροφὴν οἴσει, ἐγὼ δ' ὑμῖν εἰς αὔριον διαλεχθήσομαι.


Ἔπειτα δέ, μόνοι ὄντες...
Ὡς ἄτοπός ἐστιν ἐκεῖνος ὁ ἀνήρ. Ἐγὼ γὰρ ᾠήθην δουλεύειν παρ' ἀνδρὶ κακῷ τε καὶ ἀγρίῳ. Νῦν δ' ἐξαίφνης ἐπιεικὴς φαίνεται.
Θαυμαστὴ μέντοι ἡ μεταβολή. Ἀλλ' ἐπεὶ δυνάμεθα εὖ καθεύδειν, μὴ τὸν καιρὸν παριῶμεν.


Πρῷ δὲ τῇ ὑστεραίᾳ.
Ὁ δεσπότης ὑμᾶς ἐπιμένει ἐπὶ τῷ χώματι.


Εἶεν. Προσέλθετε.



Χαίρω ὁρῶν ὑμᾶς καλῶς ἔχοντας. Ἀλλά, τίνα ὀνόματα ὑμῖν ἐστιν;
Οὗτος μὲν Ἔναξ καλεῖται· ἐγὼ δὲ ὀνομάζομαι Ἄλιξ. Ῥωμαῖοι δὲ πολῖταί ἐσμεν.


Δεήσει μὲν ὑμᾶς ἔλεγχον ποιεῖν· χαλεπὸν δ' ἔσται. Οὐ γὰρ δῆλόν ἐστιν ἐκ τῶν προσώπων ὑμῶν. Οὐ μὴν ἀλλ' ὅ ὑμῖν συνθήσομαι ῥᾳδίως ἂν οὕτω περανθείη. Τούτου γὰρ ἕνεκα ἐπριάμην ὑμᾶς. Θαυμαστόν, δήπου;


Πρὶν δὲ παντ' ἀκριβῶς διηγήσασθαι, ἄξιῶ λέγειν καὶ αὐτὸς Ῥωμαῖος εἶναι, Νοῦμας Σαδοῦλος ὀνομαζόμενος καὶ γένους παλαιτάτου γενόμενος. Ἔτι δ' ἐκ προνοίας ἴστε με παρόντα ἐνθάδε.



Τρίτον γὰρ ἢ τέταρτον ἤδη μῆνα συνέβη εἰς Καπρέας ἐποκεῖλαι πλοῖόν τι πολυτελῶν ἀγγείων γέμον.


Ἀποπλέον γὰρ ἐκ τῶν Ἀθηνῶν εἰς τὴν Ὠστίαν ᾤχετο, τὰ φορτία φέρον Ῥωμαίοις ἐμπόροις τισί. Τοῖς δ' ἀνέμοις ἄλλα ἔδοξεν.



Ὅτε δ' ἐξήτασαν οἱ στρατιῶται τὰ ναυάγια, οὐδὲν ἀκέραιον ὂν κατέλαβον.


Ἐξαίφνης μέντοι στρατιώτης τις τῷ ἑκατοντάρχῃ ἤνεγκε κρατῆρός τινος τὰ περιόντα, Ῥωμαικοῖς γράμμασι δεξιῶς καὶ ἐπιμελῶς ἐπιγεγραμμένα, καὶ λέγοντά τινας ἐν τῷ ἐνδοξοτάτῳ τῶν Ἀθήνησι κεραμείων θαυμαστὰ ἐπιβουλεῦσαι. Βουληθεὶς γάρ τις τὸν κίνδυνον μηνύειν τοῖς Ῥωμαίοις, κατώρθωσε, θεῶν γε βοηθούντων.



Δυοῖν γοῦν ἡμέραις ὕστερον, ταῦτ' ἐδιδάχθη ἡ Ῥωμαικὴ βουλὴ καί, ὡς εἴωθεν, ἀπόρρητα ἀπορρήτοις ἀντέστησε, τὸν Πομπήιον κελεύουσα λάθρᾳ τι διαπράξασθαι...


Καὶ ἐγὼ νεωστὶ Ἀθήναζε ἀφικόμην, ἀκριβῶν ὄντων τῶν προστεταγμένων. Ὥστε τὴν οἰκίαν τήνδε μισθωσάμενος, ἐζήτησα εἰσελθεῖν εἰς τὸ Πρωτονεῖον. Χαλεπὸν δὲ τοῦτ' ἐστι, καὶ ὑμᾶς οἶμαι ῥᾷον εὖ πράξειν.


Ἡμεῖς; Χαλεπώτατον δὴ ἡμῖν ἔσται, δούλοις οὖσιν, καὶ νέοις.
Δυο νέοι δοῦλοι;



Τοὐναντίον δέ· οὐδεὶς γὰρ ὑμᾶς ὑποπτεύσει, καὶ ὅμοιοι ἔσεσθε τῷ Τροϊκῷ ἵππῳ· ἀλλ' ἀποβλέψατε· τοῦτο γάρ ἐστι τὸ Πρωτονεῖον, ἐκεῖ, τὸ οἰκοδόμημα ἐκεῖνο...


Ζητῶ δὲ διὰ τί ἡμᾶς εἵλου.
Διδάσκω ταῦθ' ὑμᾶς· Πρωτόνους γάρ, ὁ πρότερον τὸ ἐργαστήριον κεκτημένος, τρίτον ἤδη ἔτος ἀπέθανεν, υἱὸν καταλείπων, τὸν Ἔρκιον. Ἐκεῖνος δέ, νεώτατος ὤν, ὑπ' Ἰκαρίου τοῦ ταμίου ἐπετροπεύθη. Οὗτος δὲ μέτοικος ἦν, καὶ τὴν οὐσίαν ηὔξησε, τοῖς Ἀθηναίων νόμοις καταχρησάμενος.



Ὅταν δ' ὁ Ἔρκιος πεντεκαίδεκα ἐτῶν γένηται, τοῦτον τὸν Ἰκάριον δεήσει τὸν κλῆρον ἀποδιδόναι. Χαλεπόν δ' ἔσται αὐτῷ, οὕτω φιλοχρημάτῳ ὄντι. Τοιγαροῦν ὄπισθεν τούτων τῶν τειχῶν δεινὰ ἐκεῖνος ἐπιβουλεύει· ὃν χρὴ ἁλῶναι. Ἐὰν οὖν ἐγὼ βούλεσθαι λέγω ὑμᾶς ὡς ἐργάτας αὐτῷ ἐπιτρέπειν, ἐθελήσει, ὡς πλεῖστα ὑφ ὑμῶν ὠφεληθησόμενος. Ἐν δὲ τῷ ἐργαστηρίῳ ὄντας, ὑμᾶς δεήσει ἄλλα μηχανᾶσθαι καὶ φιλίαν ποιεῖσθαι πρὸς τὸν Ἔρκιον. Ἐγὼ δ' ὡς ἂν δύνωμαι ὑμῖν βοηθήσω.


Ὡς ἐμοὶ δοκεῖ, ἀνάγκη ἡμῖν πείθεσθαι.
Ἀνάγκη γε· Πρῶτον μὲν γὰρ τὸ τῆς βουλῆς ἀργύριον δοὺς ὑμᾶς ἐπριάμην, καὶ εὐθύνας δώσω. Ἔπειτα δ' εἰ ἀληθῶς Ῥωμαῖοί ἐστε, πρέπει ὑμῖν τὰ δέοντα πράττειν.
Εἶεν· εἶμι.
Καὶ ἐγὼ δή.


Εὖ γε λέγετε.
Ὑμᾶς γὰρ ἐν τῷ φανερῷ ὕβρισα ἵνα σκλῆρος δοκῶ δεσπότης εἶναι· Οὕτω γὰρ ῥᾷον ἐμοὶ ἔσται παρὰ τοῦτον τὸν Ἰκάριον ἐλθόντι εὖ πρᾶξαι· ὑμᾶς δ' ἐλευθερώσω, τὸ προσταχθὲν ἀποτελέσαντας. Τοῦτο δὲ διαθησόμεθα, παρὰ τὸν ἄρχοντα ἐλθόντες.


Ὀλίγαις δ' ὥραις ὕστερον...
Ἀφίγμεθα.



Συνθήκας ποιοῦνται καὶ τῷ γραμματεῖ παραδιδόασιν...
Εὖγε. Ὅταν οὖν τὴν κεραμείαν μάθητε, ὁ δεσπότης ὑμᾶς ἐλευθηρώσει. Ἀντὶ δὲ τῆς εὐνοίας ταύτης πρέπει ὑμᾶς μεγίστην χάριν εἰδέναι.


... ὃς τὰ γράμματα εἰς τὸ γραμματοφυλακεῖον καταθήσει.


Πρός δ' ἑσπέραν ὁ Νουμᾶς Σαδοῦλος τε καὶ τὼ νέω εἰς τὸ πρόθυρον τοῦ Πρωτονείου ἥκουσιν.
8


Καὶ ἐν τῷ προστῴῳ...
Ὅνπερ εἶπον ὠνητὴν οὗτός ἐστιν, καὶ ἦλθε μετὰ τοῖν νέοιν δούλοιν τούτοιν, βουλόμενος αὐτοὺς σοὶ ἐπιτρέπειν.
Διὰ τί; τούτων ἐμοὶ οὐκ ἐνδεῖ.


Χαῖρε, ὦ Ἰκάριε. Ἐγώ εἰμι Νουμᾶς Σαδοῦλος, ὁ Ῥωμαῖος, τώδε τὼ δούλω χθὲς πριάμενος, τὸν μὲν Ἄλικα, τὸν δ' Ἔνακα. Χαίροιμι δ' ἂν εἰ τὴν κεραμείαν ἐνθάδε μάθοιεν. Καί, ὡς δίκαιόν ἐστι, μισθὸν σοὶ δώσω.
Οὐ δύναμαι αὐτοὺς ὑποδέχεσθαι. Πλείους γὰρ ἤδη τυγχάνομεν ὄντες. Ἄχθομαι δ' οὐκ ἀξιῶν.


Ἐννόει, ὦ Ἰκάριε... Ἐγὼ γὰρ οὕτω πράττω αἰτοῦντος Ῥωμαίου τινός, πολλοῦ ἀξίου ὄντος. Ὃν λυπήσεις ἐὰν μὴ πεισθῇς.
Ἐπιλανθάνει δ' αὐτὸς ὅτι ἀπόρρητοί εἰσιν αἱ τῶν κεραμέων τέχναι. Ἆρα μὴ περὶ ὀλίγου τοῦτο ποιεῖ; οὐκ ἂν ἐθέλοιμι.


Ἀλλ' ἐγὼ βούλομαι...


Οὗτός ἐστιν Ἀρχέλαος, ὁ ἐμὸς υἱός. Ὃν οὐκ ὀρθῶς εἴωθα ἐᾶν ὅ τι ἂν βούληται ποιεῖν.


Νῦν μέντοι καὶ τοῦτ' ἐάσεις, ὡς οἶμαι.
Ἔα... ἐγὼ γάρ... Ναί· αὐτοῦ γὰρ παρόντος, εὐτυχεῖς.


Ἔλθετε· τί ὄνομα ἑκάστῳ ὑμῶν ἐστιν;
Ἀεὶ τῇ τύχῃ πιστεύειν προσήκει.
Μὰ τὸν κύνα.


Ὦ, Ἕρκιος· Ἀεὶ πάρεισι, μέγα φρονῶν ὡς ταὼς τις καὶ οὐδέποτε μ' ἀσπάζεται. Τοῦ γὰρ Πρωτονείου κληρονομήσει, ἐάν γε τοῦθ' οἱ θεοὶ συγχωρῶσιν ἐκείνῳ.


Ὡς βλασφημεῖς. Ἐκεῖνος γὰρ ὁ παῖς πάσας τὰς χάριτας ἔχει. Οὐδέποτε γὰρ οἵ τε θεοὶ καὶ οἱ δαίμονες οὕτως ἄγριοι ἔσονται ὥστε παῖδα οὕτω νέον ὄντα ἀπολλύναι. Χαῖρε, ὦ Ἰκάριε. Ἐνίοτ' οὖν εἶμι εἰς τὸ ἐργαστήριον ἵνα περὶ τοῦ Ἄλικος καὶ τοῦ Ἔνακος πύθωμαι. Καὶ τότε κεράμια ὠνήσομαι.
Μάλιστα δὴ μάλιστα.
9



Ὀλίγῳ δ' ὕστερον Ἀρχελάου τοὺς φίλους εἰς τὸ τῶν κεραμέων ἐργαστήριον ἄγοντος...
Τί ποτ' εἰσὶ τοσοῦτοι φύλακες;
Ἐνθάδε μὲν ἐργάζονται οἱ κεραμεῖς, πορρωτέρω δ' αἱ κάμινοί εἰσι.


Ὅπως μηδεὶς τὰς τέχνας παρ' ἡμῶν ἀκόντων μανθάνῃ ἢ ἀγγεῖα ὅμοια ἡμῖν ποιῇ.


... ὁ Νουμᾶς Σαδοῦλος τὸ ἅρμα ἐφίστησι.
Τιμόλαε, πεζῇ οἴκαδ' εἶμι. Σὺ δὲ τὸ ἅρμα ἐπάναγε.
Ἐπανάξω, ὦ δέσποτα.


Ἀλλ' οἴχεται εἰς τὸ γυμνάσιον. Νεώτατος μέντοι ἐστίν.


Ποῖ οὖν ἦλθεν; οἷος ὄχλος...


Ἐνθάδε γὰρ πλείους εἰσὶν οἱ θεώμενοι ἢ οἱ γυμναζόμενοι. Πῶς οὖν αὐτὸν πάλιν εὕρω;


Ὦ Ἕρκιε. Ταχέως ἐλθέ. Ὁ γὰρ Παυσανίας φησί σε τρέχων ἂν νικῆσαι.
Πάρεστιν.


Πῶς ἂν πρὸς τοῦτον διαλέγεσθαι δυναίμην; Ἀναγκαῖον μέντοι ἐστὶν αὐτὸν φίλον καθιστάναι. Ἐκεῖνος γάρ, εἰ ἡμῖν ὑπηρετοίη, οὕτως ἂν πολλοῦ ἄξιος εἴη. Ἄγε δή, ἴωμεν.


Μὴ εἰσέλθῃς


Ἆρ' οὐ μέμνησαι ὅτι οὐδενὶ ἔξεστιν εἰς τὸ γυμνάσιον εἰσελθεῖν, πλὴν τοῖς ἀσκοῦσι καὶ τοῖς γυμνασταῖς; Τοῖς γὰρ θεωμένοις τὰ πέριξ τοῦ σταδίου, οἶμαι, ἀπόχρη.
Ὅμως δ' ἐβουλόμην μόνον πρὸς τὸν παῖδα ἐκεῖνον διαλέγεσθαι.


Ἀλλ' ὅνπερ φασὶ πλουσιώτατον εἶναι ξένων σὺ εἶ. Αὐτὸς δὲ σὲ ἄρτι εἶδον διὰ τῆς ἀγορᾶς ἐλαύνοντα, δύο δούλω ἔχοντα — οὓς οἶμαι σε πλείστου πρίασθαι — ἐκ τοῦ ἅρματος δεδεμένους, καὶ εἷλκες αὐτούς. Μῶν ἀπέδρασαν;
Οὐδαμῶς, ἀλλ' ἐπὶ χρόνον ὀλίγον ἄλλοσε ἐξέπεμψα.


Ἕλληνα οὖν τινα κτᾶσθαι βουλόμενος εἰσῆλθες; Ἀλλ' ἐνθάδε οὐδένα πωλοῦμεν, ἥκιστα δ' ἐκεῖνον. Ἕρκιος γάρ ἐστιν, ὁ τοῦ Πρωτόνου υἱός. Ἄκουσον οὖν ἐμοῦ φιλικῶς συμβουλεύοντος· μὴ τῷ Ἑρκίῳ ἐγχειρήσῃς.
Τούτου ἐνθυμήσομαι.


Ἐν δὲ τῇ νυκτί, πάντα δοκεῖ ἡσυχάζειν ἐν τῷ Πρωτονείῳ, ὑπὸ σκότου ὄντι. Ὅμως δέ...


Ὁ Ἀρχέλαος ἡμᾶς ἐκέλευσεν ἐπιμένειν... πολὺν ἤδη χρόνον.
Νῦν ἄπελθε, ὦ Πελία· ὑμεῖς δέ, τί δρᾶτε;


Τί δέ; καὶ ὑμᾶς; Τίνες ἐστέ;
Οὗτος μὲν καλεῖται Ἔναξ, ἐγὼ δ' Ἄλιξ. Ῥωμαῖοι δ' ἐσμέν.


Τί μοι διαφέρει; μέτοικοι γοῦν ἐστε.
Καταφρονῶν ἡμῶν ὑβρίζεις· ὁ γὰρ Ἄλιξ τῶν Εὐπατριδῶν ἐστιν, καὶ ἐγώ εἰμι τοῦ Αἰγυπτίων βασιλέως υἱός.


Ἄπιστά γε, ἃ λέγεις· ἀλλ' ἴσως οὐδὲν ἄλλο ἢ ψεύστης εἶ.



Συγγνώμην αὐτίκα αἴτησαι, εἰ δὲ μή...
Ἔναξ.


Ἄγε δή, παύσασθε τοίνυν. Ἐμὲ γὰρ μακρὸν ἤδη χρόνον περι-εμένετε. Ὥστ' ἐμοὶ σύγγνω-τε· ἀλλ' οὔκουν οἴεσθε ἄξιον περιμεῖναι;


Τί νῦν λέγετε;


Ὤ...
Τοῦτ' ἔστιν...
Οὔκουν θαυμά-ζετε;...


Ταῦτα μάλιστα φιλῶ. Οὐδὲν γὰρ ἐμοὶ μᾶλλον ἀρέσκει. Ἰαῖ, ἰαῖ. Νῦν σύμ-παντες διατρίβωμεν παί-ζοντες.



Ἴδετε· δύναμαι τὴν τοῦ ὄφεως ὀρχεῖσθαι ἢ τὴν τῶν κληθέντων κεραμίων... ἢ τὴν τῆς νύμφης...
Ποῖ πορεύει, ὦ Ἔρκιε;


Διὰ τί μὲν οὐκ ἐθέλεις μεθ' ἡμῶν μένειν; τί δ' ἀπὸ πάντων ἀεὶ φεύγεις; Δεῦρο μεῖνον, Ἔρκιε.
ΤΟΥΤΟ ΓΑΡ ΣΟΙ ΠΡΟΣΤΑΤΤΩ.


Ὦ Ἀρχέλαε, οὔπω κύ-ριος εἶ τῶν ἐν τῷ Πρωτονείῳ. Ἐγὼ γάρ εἰμι τοῦ Πρωτόνου υἱός.


Ἔρρ' εἰς κόρακας καὶ εἰς Ἅιδου κατάβηθι. Τὸ γὰρ Πρωτόνειον ΟΥΔΕΠΟΤΕ σοὶ ἔσται.
ΟΥΔΕΠΟΤΕ.


Ὦ φίλοι, ὦ ἀγαθοὶ φίλοι, ἐπιλαθώμεθα ἐκείνου τοῦ ὀνείδους. Ἄιδωμεν καὶ παί-ζωμεν. Νῦν γὰρ τρεῖς ἐσμεν. Πίνωμεν καὶ χορεύωμεν καὶ γελάσωμεν. Ἰαῖ, ἰαῖ.


Ἡ σύ, πίε τοίνυν τόνδε τὸν Σάμιον οἶνον. Οὕτω γὰρ ἡδύ ἐστιν ὥσπερ τὸ τῶν θεῶν νέκταρ. Ἄγε δή.

Χάριν μὲν οἶδά σοι, οἶνον δ' οὔποτ' ἔπιον, εἰ μὴ δειπνῶν, καὶ ταῦτα ἐνίοτε μόνον, καὶ ἐν χρόνῳ τινὶ πάνυ παλαιῷ.
Ἀλλ' ἔγωγ' ἂν χαίροιμί σοι πίνοντι.

Μὴ λιπαρήσῃς αἰτῶν· πιεῖν γὰρ οὐκ ἂν ἀξιοίην.
Μῶν τοῦτο σοὶ δεῖ ἐμὲ προστάττειν;


Ὅστις ἂν ᾖ ὁ τρόπος, οὐκ ἐθελήσω.
Ἀᾶ, ἐγὼ γὰρ ὁ τοσαύτην ἐν ὑμῖν ἐλπίδα ἔχων καὶ τοιαῦτα βουλόμενος ὑμᾶς ὠφελεῖν· ὑβρίζομαι αὖθις καὶ ὡς λοιμός τις ἐκβάλλομαι...


Φεῦ, τῆς ἐλπίδος ὅσον ψεύδομαι. Ἐπένοησα γὰρ ὑμᾶς ἀπελευθεροῦν καὶ καθιστάναι φίλους· καὶ εἰ ἐβουλήθητε, ἐμοὶ ἂν συνῆστε, περὶ τοῦ Πρωτονείου καὶ τῆς οἰκίας τῆσδε, ἃ δεῖ τὸν τυχόντα λανθάνειν· οὕτω γὰρ ὑμῖν ἐπίστευον.


Ἆ, ὡς δεινὸν τοῦτο, ὡς αἰσχρόν. Ὑπὸ τούτων νοσῶ. Τοσαῦτα γὰρ ἤλπιζον, ἃ νῦν σφάλλεται. Οἴμοι.

Ἤ, ἤ, πραΰνου· οὐ δεῖ οὕτω κακῶς ἔχειν...
... Ἐλαχίστων ἕνεκα...

Ἀᾶ


Μεγίστην γε δίκην δώσετε. Ὄμνυμι γάρ· τὴν τιμωρίαν λήψομαι τὴν ἀξίαν. Μεταμελήσει δ' ὑμῖν τοῦτο ποιήσασιν.


Πρῷ δὲ τῇ ὑστεραίᾳ, ἅμ' ἡλίῳ ἀνατέλλοντι, χρυσοειδὲς φαίνεται τὸ Πρωτονεῖον. Οἱ δὲ τῶν καμίνων καπνοὶ εὐθεῖς ἀνίστανται, ὃ καύματος πάλιν σημεῖόν ἐστιν.


Καὶ ἤδη οἱ δοῦλοι πονοῦσιν.
Οὕτως ἀγγεῖα ποιοῦμεν. Θεᾶσθε. Πρῶτον μὲν δεῖ τὸ φύραμα ἐν χερσὶν αἱρεῖν, τούτῳ δὲ τῷ τρόπῳ μάττειν, καὶ ἔπειτα πρὸς κοφίνῳ τινὶ ἱστάναι. Τέλος δ' ὑγραίνοντα βραδέως πλάττειν. Τῶν ἔργων ἐκεῖνο δυσχερέστατόν ἐστιν. Νῦν οὖν πειράθητε.



Πρῶτον μὲν ὁ Ἔναξ πειρᾶται...



Καὶ ὀλίγῳ ὕστερον.
Πάντων μέντοι τῶν κεραμίων οὐκ ἔσται κάλλιστον· οὐ μὴν ἀλλ' ἐπιεικῶς τοῦτ' ἔπραξας, ἄπειρος ὤν. Νῦν δὲ πρόσεχε, τοῦτο βραδέως πλάσον. Ἄγε δή.



Εὖ γε. Ὅταν πλείω ἢ δέκα τοιούτων κεραμίων ποιήσῃς...


Ἔπειτα δ' ὁ Ἄλιξ.


ΠΛΟΦ


Ἅ. ἅ. ἅ. ἅ.


Ἡσύχασον, ὦ παῖ. Ἡσύχασον. Ἐγὼ γὰρ συμπάσχω, ἀλλὰ κράτησον τῆς ὀργῆς. Ἐὰν γὰρ ἐπαναστῇς, ἀπολεῖ.


Ἀπίστει ἐκείνῳ τῷ μάλιστα βλαβερῷ ἀνθρωπίῳ, μὰ τὸν Δία. Ὡς γὰρ ὄφις ἰοβόλος καὶ ἐπιβουλός ἐστι. Ἀπίστει.



Ἦ ἤ, τὸ κεράμιόν σου κατέαξα· οὕτω καλῶς στοχάσασθαι οὐκ ἂν ᾠήθην, μὰ τὸν Δία. Παίζων μέντοι τοῦτ' ἐποίησα.
Ἆρ' ἐν νῷ ἔχεις τοῦτ' ἀνορθῶσαι;


Οὐδαμῶς. Ἀλλ' οὐκ οἴει βέλτιον εἶναι πρὸς ἀλλήλους διαλλαγῆναι; Σύγγνωθι δή μοι. Σοὶ γὰρ ἐπηγγειλάμην ἔνια ἀποκαλύψειν, καὶ ἑσπέρας γενομένης ταῦτα δηλώσω. Μὴ φοβηθῇς· οὐδὲν γὰρ κινδυνεύσεις.
Εἶεν.


Εὖγε. Ξάνθην τὸν δοῦλον παρὰ σὲ τῆς νυκτὸς τῆσδε πέμψω.
Ἀλλὰ μετ' Ἔνακος, τοῦ ἐμοῦ φίλου, εἶμι.


Ἐπικίνδυνον, ὦ Ἄλιξ, τὸ πρᾶγμά ἐστιν.
Πάνυ γε, ὦ Περίκα, ἀλλὰ χαλεπόν ἐστί μοι τοῦτο μὴ πρᾶξαι. Ὁ δ' Ἀρχέλαος ἐκεῖνος, πότερόν ἐστι μειράκιον ἢ κόρη τις;
Ὁ πατὴρ αὐτοῦ βούλεται τὸ Πρωτονεῖον αὐτῷ καταλείπειν, ἀλλ' υἱῷ μόνῳ ἔξεστι τοῦτο παραλαμβάνειν. Τοιοῦτος γάρ ἐστιν ὁ τῶν Ἀθηναίων νόμος.


Καὶ ὀλίγῳ ὕστερον...
Τῇδε... Ἐπιμελῶς ἔλθετε. Ὀρθία γάρ ἐστιν ἡ ὁδός.
Ἀλλὰ ποῖ ἡμᾶς ἄγεις;


Ἐνταῦθ' ἐστι τὸ τῶν μυστηρίων ἄντρον. Τὴν οὖν δᾷδα λάβετε καὶ εἰσέλθετε. Ἔνδον δ' ὑμᾶς περιμένει τις.
Χάριν σοι ἴσμεν. Ἴθι, ὦ Ἔναξ.
Ἔτι καὶ νῦν, ὦ Ἄλιξ, δυνάμεθα...


Τελευτῶντες πάρεστε, ὦ φίλοι. Χαίρετε δέ. Ἡδὺ γάρ μοί ἐστιν ὑμᾶς δέχεσθαι ἐν τῷ τῆς Δημήτρος τῆς τῶν μυστηρίων θεοῦ ἄντρῳ. Μὴ μέντοι πορρωτέρω προσέλθητε. Οὐ γὰρ μύσται ἐστέ, οὐδ' ἔξεστιν ὑμῖν τὴν εἰς τὸ ἄντρον εἴσοδον ὁρᾶν. Τοιγαροῦν καπνοὺς ἐποίησα.


Πρὶν τοῦ πρόσω προιέναι χρὴ τοὺς ὀφθαλμοὺς ὑμῶν καταδεῖν. Τοιοῦτος γάρ ἐστιν ὁ νόμος καὶ ἐπικίνδυνόν ἐστιν ἐμποιεῖν ὀργὴν τῇ μεγίστῃ θεῷ. Οὐδενὶ δ' ἄλλῳ τρόπῳ δύναται οὐδεὶς περὶ τοῦ Πρωτονείου τὰ μεγάλα καὶ ἀπόρρητα γνῶναι.
Εἰ οὖν χρή...


Ταῦτὰ ποίησον ἐμοί, ὦ Ἔναξ.
Τοῦτ' οὔ μοι δοκεῖ ἀσφαλές, ὦ Ἄλιξ.


Ἤδη δὲ δὸς ἐμοὶ τὴν χεῖρα... Βραχεῖα δ' ἔσται ἡ ὁδός· οὐκοῦν θάρρει καὶ ἐλθέ, **ἐλθέ.**
15


ΚΛΑΚ
Ἆρ' ἡμῖν ἔξεστι τάσδε τὰς ταινίας ἀφελέσθαι;
Τί δέ;


Ἔξεστι. Θύρα γάρ τις ἐψόφησεν. Καὶ ἡ μεγίστη θεὸς συνεχώρησεν ὑμῖν εἰς τὸ τῶν μυστηρίων ἄντρον εἰσελθεῖν...
Ἐμοί γε δοκεῖ τοῦτ' εἶναι κατάγειός τε καὶ χειροποιήτος ὁδός.


Μάλιστα δ' αὖ παλαία.
Μάλιστα δή.
Ὠρύχθη γὰρ ἐν τοῖς Μηδικοῖς ὑπ' Ἀθηναίων τινῶν, ἵν' ἀποφυγεῖν τοὺς ἐμβάλλοντας πολεμίους δυνηθεῖεν. Καταπέπτωκε δὲ νῦν κατὰ τὸ πλεῖστον μέρος.


Τῇδε βαδίζετε. Εὐλαβήθητε δέ. Ἡ γὰρ ὁδὸς ἥδε μάλιστα στενή ἐστιν.
Ἐκείνη δὲ ποῖ ποτ' ἄγει;
Ἔα... μὴ ὄπισθεν μείνῃς, ὦ Ἔναξ


Πνεύματος δ' αἰσθάνομαι. Ἴσως...
Ἐλθέ. Ἁμαρτήσει γὰρ τῆς ὁδοῦ οὕτως ἐν τῷ σκότῳ προϊών.
Ἐπάνελθε, ὦ Ἔναξ.


Τὰς δᾷδας τάσδε δεῦρο λίπωμεν ἵνα μὴ ὀφθῶμεν, καὶ ἤδη σιγῶμεν.


Κάλλιστα, οὕτω γε. Πρὸς δὲ τοῦτ', ὦ Ἄλιξ, ἐπίβλεψον.
16



Ἆρ' οὐκ ἐνέμεινα οἷς ἐπηγγειλάμην; Ἢ οὔπω πιστεύεις ἐμοί;
Τί ποθ' ὁρᾷς;


?


Τί γάρ ἐστιν ἐν τῷδε τῷ οἰκήματι; Τί δ' ἐστὶ τάδε τὰ σκεύη; Τί ποτ' ἐκεῖνοι ποιοῦσιν;
Σίγα, σίγα· μὴ μέγα φθεγγώμεθα.


Ἔνθα δὴ τῶν ἐκ τῆς Βαβυλῶνος καὶ τῆς Ἀλεξανδρείας καὶ τῶν Ἀθηνῶν φιλοσόφων οἱ γνωριμώτατοι καὶ συνετώτατοι περὶ θαυμασίου σπουδάζουσιν εὑρήματος. Καὶ ὀλίγου χρόνου πλουτήσομεν, μᾶλλον δ' ὑπερβαλλόντως πλουτήσομεν.
Καί ἐμοί συγχώρησον ἰδεῖν.


Καὶ τοῦτο διὰ πάντα ταῦτα τὰ σκεύη; Πῶς γὰρ δυνατόν ἐστι;


Ὁ ἐμὸς πατὴρ ἐκ πολλοῦ συνέλεξε τοὺς μὲν σοφοὺς ἀνθρώπους τούτους, τὰ δὲ σκεύη καὶ τὰ ὄργανα ἅπερ ᾐτήκασι. Τήμερον δὲ πάνθ' ὑπάρχει αὐτοῖς, καὶ μετὰ χρόνον οὐ πολὺν εὖ δῆτα πράξομεν. Ναί, κατορθώσομεν ἡμεῖς.



Ἐκεῖνοι δ' οἱ ἄνθρωποι ἐν τούτῳ τῷ οἰκήματι ἐργάζονται καὶ καθεύδουσιν; Ἀλλ' ὡς δεσμῶται ζῶσιν.
Ἄγε· ἱκανὰ γὰρ εἴδετε· ἔλθετε δή.


Τί δ' οὖν ζητοῦσιν οὗτοι οἱ σοφοί· ἆρ' οὐχ ὕλην τινά, ἣ τὸ τελευταῖον κακὴ φανήσεται οὖσα;


Οὐδαμῶς δή. Μάλα γὰρ ἁπλούστερόν ἐστιν, ὡς δῆλον ἔσται. Πλουσιώτατοι γοῦν ἐσόμεθα, καὶ ἤδη δυνησόμεθα τὰς πολυτελεστάτας οἰκίας καὶ τὰ θαυμασιώτατα χρυσία καὶ τοὺς καλλίστους δούλους κτᾶσθαι. Ὦ Ἄλιξ, μάλιστ' εὐδαιμονήσομεν.


Ἀλλὰ διὰ τί τῇ μοίρᾳ σου συζεύγνυς ἐμέ; Τί ταύτης οἴει ἐμὲ βούλεσθαι μετέχειν;
Οἴμοι· τί λέγεις; ἀλλά... Σοὶ ἀπεκάλυψα τὰ περὶ τοῦ Πρωτονείου ἀπορρητά.


Ἔγωγε οὐ σ' ᾐτησάμην ταῦθ' ἡμῖν πάντα δηλῶσαι.
Ἀλλ' ἐγὼ ἐδήλωσα καὶ σὺ ἑκὼν εἶδες. Οὐκέτι δέ σοι καιρός ἐστι μεταμέλειν.


Δοῦλοι γοῦν ἐνθάδ' ἐστε, σὺ καὶ ὁ φίλος σου, καὶ μέχρι τοῦδε διὰ τοῦτο μόνον εὖ ἐπάσχετε ὅτι ἐγὼ τοῦτ' ἠβουλήθην. Ἐμοῦ δὲ ἐναντίου γενομένου, οὐδὲν ἤδη ἔσεσθε. ΟΥΔΕΝ.
Ἄγε δή, ὦ Ἄλιξ, ἄφρων ἂν εἴης, εἰ μὴ παρ' ἐμοὶ μείνειας.


Ἆρ' οὐ μέμνησαι ὅτι Νουμᾶς Σαδοῦλος, ὁ ἡμέτερος δεσπότης, ἐστιν ὅσπερ τῷ πατρί σου ἡμᾶς παρέδωκεν;
Οὐδαμῶς. Ἐμοὶ γὰρ ὑμᾶς παρέδωκε. Καί, ἐὰν δέῃ, σὲ αὐτὸς ὠνήσομαι. Οὗτος γὰρ ὁ ἀνὴρ τοσοῦτον οὐ παρήσει καιρόν.


Εἰ δ' ἀποδραίην;
Ἀᾶᾶ. Παῦσαι ἀεὶ ἀντιλέγων ἐμοί, καὶ κατανόει ὅτι οὐκέτ' ἔξεστί σοι ἐκ τοῦ Πρωτονείου ἀπελθεῖν. Νῦν γὰρ σοὶ ταῦτ' ἰδόντι θάτερον δεῖ προελέσθαι· ἢ παρ' ἐμοὶ μένειν ἢ ἀποθανεῖν.
Περὶ δὴ τούτων ἐνθυμήσομαι.


Πρῷ δὲ τῇ ὑστεραίᾳ, τοῦ καύματος ἤδη χαλεπωτέρου ὄντος...
Τελευτῶν δὴ ἥκει.


Οὐ σὺ δὴ Ἕρκιος εἶ, ὁ τοῦ Πρωτόνου υἱός; Ἐγὼ δὲ τῷ τοῦ χωρίου σου ἐπιμελετῇ δύο δούλους παρέδωκα, τὸν μὲν Ἄλικα, τὸν δ' Ἔνακα ἵνα τὴν περὶ τῶν ἀγγείων τέχνην μάθοιεν. Σοὶ δ' ἂν χάριν ἀποδοίην, εἴ πως τῆς σπουδῆς αὐτῶν ἐπιμελεθείης.



Εἰ τούτων κηδόμενος τυγχάνεις, οὐκ ἂν ἐδέησεν αὐτοὺς εἰς τὸ Πρωτονεῖον ἄγειν. Ὁ γὰρ Ἰκάριος ἐνταῦθα ποιεῖ ὅπως ἂν βούληται... ἔν γε τῷ παρόντι.
Οἶδα· οὐ μὴν ἀλλ' ὀλίγον ἐπιμελήθητι.


Τοῦ ξανθοῦ παιδὸς καὶ τοῦ τῶν Αἰγυπτίων βασιλέως υἱοῦ;
Τίς βασιλέως υἱός;


Ἐκεῖνος ὅνπερ ἐν τῷ Πειραιεῖ πολλοῦ σὺ ἐπρίω καὶ παρὰ τὰ μακρὰ τείχη ὕβρισες. Ἆρα μὴ ἐπελάθου;



Σὺ πάλιν τυγχάνεις παρών; Ἆρα διατελεῖς ἐμοὶ ἑπόμενος καὶ φυλάττων; Τίς ποτ' εἶ;
Πολυάλκης ὀνομάζομαι, καὶ γυμνασίαρχός εἰμι. Ἐλθὼν δὲ δεῦρο σοὶ ἐνέτυχον.


Τὰ πράγματα ἀεὶ δήπου εὖ διακοσμεῖ ἡ τύχη.
Κάλλιστά γε. Ἐπεὶ δ' οὐδὲν ποιεῖς, ἵνα μὴ περιβλέπτος ᾖς, οὐδὲν θαυμαστὸν εἴ τινές σ' ἐπετήρουν, ἄλλως τε καὶ ὅτε μηχαναῖς χρῇ ἵνα τούτῳ τῷ παιδὶ ἐντύχῃς ὃς τῆς τῶν ἐπιτρόπων ἐπιμελείας οὕτω δεῖται.



Ἀλλ' ἐκεῖνον οὐδαμῶς μέλλω ἀδικεῖν, τοὐναντίον δέ. Ὁ γὰρ Ἕρκιος ἐμοί δύναται συνεργεῖν. Ἐπεὶ δύο δούλους τῷ Ἰκαρίῳ παρέδωκα ἵνα τὴν κεραμείαν μάθοιεν καί...
Ὡς θαυμαστόν... Αὐτοὺς γὰρ τοσούτου μὲν πρίασθαι, ἐν δὲ τῷ Πρωτονείῳ κατακλεῖσαι οὐ μόνον παράδοξον, ἀλλὰ καὶ φοβερόν ἐστιν.


Ἀναγκαῖόν γ' ἦν. Ἔα, οἴχεται ὁ Ἕρκιος.
Οἴχεται δή. Ἴσως γὰρ τὰ σοὶ εἰρημένα αὐτὸν οὕτως ἐτάραξεν ὥστ' οἴκαδ' ἐπανελθεῖν ἠβουλήθη.


Καὶ τῆς μεσημβρίας...


Ἕρκιος; Μετὰ τοῦ Ἄλικος καὶ τοῦ Ἔνακος; Βαβαί.


Ἀρχέλαε... Ποῦ ποτ' ἦσθα; δεῦρ' ἴθι.
ΙΘΙ ΔΗ.


Μὴ φύγῃς, **Ἀρχέλαε. Σὲ κελεύω... Φύλακες, συλλάβετε αὐτόν.**


Ἄγε δή, τί οὖν φεύγεις;
Δεῖ ἐμέ...


Ἐκεῖνοι οἱ ἐκ Καπύης ἔμποροι σφόδρα ἐπιθυμοῦσί σε γνωρίζειν. Ἀφίκοντο γὰρ ἡμῖν πλεῖστα ἀγγεῖα ὠνησόμενοι. Ἤ, ἤ. Οὗτος δὴ διαδέξεται ἐμοί...
Ἄριστός γ' ἔμπορος ἔσται, τοῦ Ἑρμοῦ προστατοῦντος, καί τῷ γε τάχει οὐδὲν διαφέρει αὐτοῦ.
19



Ἄγε δή, ὦ φίλοι, ἔλθετε τῇδε. Διέξιμεν γὰρ νῦν τὸ ἐργαστήριον ἐν ᾧ οἱ ἐργάται τὰ ἀγγεῖα κοσμοῦσι, μιμούμενοι τοὺς ἀρίστους ζωγράφους, ἄλλους τε καὶ Πολύγνωτον καὶ Ἑρμώνακα καὶ Αἴσωνα καὶ Πύθωνα καὶ Ἀριστοφανῆ...
Ὦ, βαβαί. τί ἐστι τὸ θαυμάσιον ποίημα τοῦτο;


Ἀ, ἐπαΐοντες τυγχάνετε. Ἆρ' οὐ πολλοῦ ἄξιον; Κεχρυσώμενον γὰρ χάλκωμά ἐστι, κάλλιστον ὄντως ἔργον.



Ὦ πάτερ, ἆρα νῦν ἔξεστί μοι...
Σίγα δή. Ἐκεῖνοι οἱ ὠνηταὶ πάντων τῶν ἡμετέρων ἀξιοχρεώτατοί εἰσιν. Εἶμι δῆτα, εἶμι.


Καὶ ὀλίγῳ ὕστερον...
Τοῦθ' οὕτως ἔστω... Τὸ γὰρ δεύτερον μέρος τῆς τιμῆς τάχα καταθήσομεν καὶ αὐτοὶ τὰ ἀγώγιμα πορεύσομεν.
Χαιρήσομεν ὑμᾶς πάλιν δεῦρο ὁρῶντες.


Ἆρα νῦν ἀπελθεῖν ἔξεστί μοι;
Ἐπίμεινον δὴ ἕως ἂν ἀπέλθωσιν ἐκεῖνοι...


Χαίρετε, καὶ ἀγαθῇ τύχῃ πορεύθητε. Νῦν δή, ὦ Ἀρχέλαε, τί ποθ' οὕτως ἐπηρμένος τυγχάνεις;
Ὁ Ἕρκιος ἔφυγε μετὰ τούτοιν τοῖν δούλοιν ὧν ἐκεῖνος ὁ Ῥωμαῖός σοι ἐπέτρεψεν. δέδοικα οὖν μὴ εὕρωσιν ἃ οὐ δεῖ αὐτοὺς εἰδέναι περὶ τοῦ Πρωτονείου. Ἱκανοὶ γάρ εἰσι καὶ τοῦθ' ἡμῖν μέγας κίνδυνος ἂν εἴη.



Αἰαῖ· ἀμφοτέρους μὲν γὰρ δεῖ ὡς τάχιστα ἀπολέσαι, τοῦ δ' Ἑρκίου κατηγορεῖν. Ἆ, ἆ. Ὡς τοῦτ' ἐμοὶ ἂν προσήκοι. Ἄγε δή, ταῦτ' αὐτίκα πράξωμεν.


Δῆλον μέν ἐστιν ὅτι ἐκεῖνος ὁ Ῥωμαῖος τὼ δούλω τούτω ἐνθάδε κατέστησεν ἵνα ῥᾳδίως διερευνήσειαν. Σὺ δὲ περὶ αὐτοὺς σπουδάζεις. Εἰ γὰρ ἐξ ἀρχῆς μὴ ἐπείσθην ὑπὸ σοῦ


Ἤδη δὲ χρὴ πάντα ποιεῖν ὥστε τῆς πλημμελείας ἀπολαύειν. Πρῶτον μὲν γὰρ ἀναγκαῖόν ἐστι τούτω τὼ παῖδε ἀνελεῖν.
Τὸν Ἄλικα καί... Μὴ ταῦτα ποιήσῃς.


Ἄκουσόν γε. Ἀρχὴν μὲν γὰρ ἔγνων ὅτι πέρᾳ τοῦ μετρίου ἐφίλεις τούτους τοὺς ἔξωθεν δούλους, καὶ ταῦτα παντάπασιν ἀλόγως. Ἵνα δὲ ταύτην τὴν οὐσίαν πᾶσαν κτώμεθα, ἀναγκαῖόν ἐστιν ἡμᾶς χαλεπούς τε εἶναι καὶ ὠμοτάτους. Οὔκουν τοῦτο κατέλαβες; Ἀμφοτέρους γὰρ δεῖ ἀνελεῖν τῷ αὐτῷ τρόπῳ χρώμενοι ᾧπερ ἀνελόντες τὸν γράμματα ἐν τοῖς κεραμίοις ἐγγλύψαντα. Ἆρ' οὐ μέμνησαι;
Ἀᾶᾶ... οὐχ οὕτως.


Ἃ εἶπον, ποιήσω. Μέχρι μὲν γὰρ τοῦδε ἀνῆκά σε ὅ τι βούλοιο ποιεῖν, οὐ μὲν εἰκότως, τὰ δὲ μέλλοντα οὐ βλάπτων. Ἤδη δὲ τῶν οἴκοι ἐν κινδύνῳ ὄντων, ἀναγκαῖόν ἐστιν ἐμοὶ ἰσχυρῶς σοι ἀντιτείνειν, σὺ δ' ἐμοὶ μέλλεις ἕπεσθαι ἵνα διδάξω σε τοιούτων πραγμάτων κρατεῖν. Ἐλθέ.


Πορρωτέρω δέ...
Σὺ οὖν εἶ τοῦ Πρωτόνου υἱός, ὁ τῆς οὐσίας κληρόνομος;
Τίς ἐπενόησε διὰ τοῦ γυναικῶνος διαβαίνειν;
Ἔγωγε. Ἡγησάμην γὰρ τὰς γυναῖκας ὑμῖν τὸ δεῖπνον παρασκευάζειν.
Ἄλλο τι δ' αὗ παρεσκεύαζον αὗται.
Ὀρθῶς λογισάμενος· μόνη γὰρ ἐστι δίοδος.



Τί δ' οὖν ἐνθάδε κατεκλείσθητε;
Ταῦτα τὰ σκεύη ἤδη εἶδον παρὰ σοφῷ τινι τῶν Καρχηδονίων.
Φιλόσοφοι γάρ ἐσμεν πανταχόθεν ἐλθόντες καὶ σπουδάζοντες ὅπως τὴν «μεγάλην ὕλην» εὑρήσομεν.


Ὅδε ὁ Ἰκάριος συνέδωκεν ἡμῖν ἀδοκήτους τε καὶ θαυμασίους πόρους, ὥστ' οὐδὲν μὲν κωλυόμενοι, θεῶν δὲ ἐθελόντων, διεπραξάμεθα καὶ τὴν «μεγάλην ὕλην» ἐποιήσαμεν.
Τί δ' οὖν ἐστιν;


ΧΡΥΣΟΣ.

21


Ἆρ οὐ θαυμαστὸν τοῦτο; πολὺν γὰρ χρόνον περὶ τῶν ἀρχαίων συγγραμμάτων σπουδάζοντες καὶ πολλὰ ἀπὸ τῶν πάλαι φιλοσόφων ἀναγνόντες, νῦν εὖ πεπράγαμεν. Ἐν γὰρ ταύτῃ τῇ χώνῃ χρυσὸν ἐποιήσαμεν.



Ἐκεῖνοι γὰρ οἱ πάλαι φιλόσοφοί εἰσιν Ἡράκλειτος καὶ Ἀναξαγόρας καὶ Παρμενίδης καὶ Ἐμπεδοκλῆς καὶ Πλάτων καὶ Ἀριστοτέλης καὶ Εὐκλείδης καὶ ἐν τοῖς σοφωτάτοις ὁ Δημόκριτος· οὗ τὰ συγγράμματα ἀναγνόντες τὴν ὕλην ἐμάθομεν ὅπως συνίσταται.
Λυδᾶ, τοῦ Καρχηδονίου, περὶ τούτου διαλεγομένου ποτ' ἤκουσα, ἀκριβῶς δ' οὐ μέμνημαι.



Μέλλω οὖν ταῦτα διδάξειν. Ὁ γὰρ Δημόκριτος ἐτεκμήρατο ὅτι ἡ ὕλη ἐκ μικροτάτων «ἀτόμων» λεγομένων σύγκειται. Ταῦτα δὲ τὰ ἄτομα ἀλλήλοις συνηρμοσμένα τὰ ὄντα συνίστησιν. Οὐ μέντοι πορρωτέρω τῆς ὑποθέσεως προὔβη, ἀλλ' ἡμεῖς ἐξ ἀτόμων ἄλλα μεταλλεῖα καὶ χρυσὸν συνεστήσαμεν.



Δαιμόνια μὲν γὰρ ἐδράσαμεν, μάλιστα δὲ καὶ φοβερά. Ἤδη γὰρ ἴσμεν ὅτι τὰ ἄτομα ταῦτα οὐ μόνον πολλὰ κακὰ ἀνθρώποις φέρειν δύναται, ἀλλὰ καὶ τὴν ὅλην γῆν διαφθείρειν.



Ἐκπληκτικώτατα γοῦν ταῦτα· πολλοῦ μὲν γὰρ χρόνου δεήσει ἕως ἂν ταῦτα συμβαίνῃ, μεγάλα μέντοι καὶ δεινότατα κινδυνεύουσιν οἱ ἄνθρωποι.


Ἆρ' οὐ παύσεσθε τῷ Ἰκαρίῳ χρυσὸν ποιοῦντες ἀπὸ τῶν τοῦ ἐμοῦ πατρὸς χρημάτων;


Παυσόμεθά γε. Ἀναγκαῖον γὰρ νῦν ἐστιν οὐ μόνον πάντα τὰ σκεύη διαφθείρειν, ἀλλὰ καὶ τὴν δεινὴν ἐπιστήμην ἀφεῖναι. Πάντες γὰρ τοῦθ' ὁμολογοῦμεν. Πρὸς οὖν καιρόν, ὦ παῖδες, ἤλθετε δεῦρο. Παρόντων γὰρ ὑμῶν, τὸ ἔργον νῦν ἀνύσομεν.



Ἔξω δέ...
Ἡ πᾶσα οἰκία ἤδη ἀπείληπται. Νῦν οὖν, ὦ φύλακες, ἐμοὶ ἀκολουθήσατε.
22


Οἱ φύλακες τὴν οἰκίαν περιλαμβάνουσιν, πολλοὶ δ' εἰσίν· εὐλαβήθητε.
Τί δὲ τοῦτο;



Ὁ μὲν Ἔρκιος παρ' ὑμῖν οὐδὲν κινδυνεύει, ἐμὲ δὲ καὶ τὸν Ἔνακα χρὴ φυγεῖν. Ἡμᾶς γὰρ διώκουσι καὶ κακὰ ποιεῖν βούλονται.



Ἐνταῦθα δ' ἐστὶν αὐτό, ὦ Ἄλιξ, ἓν τῶν ἀγαλμάτων· ἀναμνήσθητι γάρ.


Τόδ' ἐστί. Πνεύματος γάρ τινος ἐξ αὐτοῦ αἰσθάνομαι ἐλθόντος.
Σιδηρίον... ἢ τοιοῦτόν τι..., ἰδοῦ, ... δός.


Ἔκστητε δή.


Ὑμεῖς δέ, γυναῖκες, ἀπέλθετε καί...
BOMBO.
BOMBO.



Ταχέως, ταχέως· ἀφικνοῦνται γάρ.
Σπεῦσον δὲ καὶ σύ· ἡμεῖς δὲ τὸ ὄρυγμα πειρασόμεθα κρύπτειν.


Μὴ κινείσθω μηδείς, ἀλλὰ πάντες ἐν τῷ αὐτῷ μένετε.
Ἔρκιος· τί δ' ἐνταῦθα ποιεῖς;



Οὗτος μὲν ὁ παῖς ὑφ' ἡμῶν εἰσεκλήθη, ὑμεῖς δέ... Τί ποτ' εἰσήλθετε βίᾳ;
Νέους τε καὶ πονηροὺς δούλους ζητοῦμεν δύο, οἳ ἀποδράντες ἐκρύφησαν ἐν τῷ Πρωτονείῳ... Αὐτοὺς γὰρ ἐρευνῶμεν.
23


Ὦ Ἰκάριε, ὀχληρὸς εἶ. Οὐ γὰρ προσήκει σοι ἐνθάδε μετὰ τῶν στρατιωτῶν ἐλθεῖν, πάντα ταράττοντι. Τάχα γὰρ ἂν ὀργισθεῖμεν, καὶ ταῦτ' οὐκ ἂν εἴη ἀγαθόν.



ΦΛΟΠ


Ῥάα



Συνετάξατε μὲν οὖν τούτοις τοῖς πονηροῖς τὴν φυγήν, τοῦτο δὲ ποιήσαντες μεταμελήσεσθε. Αὐτοὺς γοῦν πάλιν ληψόμεθα καὶ κολάσομεν. Ὑμεῖς δ' ἐμοὶ ἀκολουθήσατε.



Ἐν δὲ τῷ μεταξύ, ἐν τῇ καταγείῳ ὁδῷ, ὁ Ἄλιξ καὶ ὁ Ἔναξ μόλις προβαίνουσι. Αὐτοῖς γὰρ καίπερ εἰθισμένοις ἐλθεῖν ἐν τῷ σκότῳ, δύσπορός ἐστιν ἡ ὁδὸς καὶ τὰς μὲν χεῖρας τοὺς δὲ πόδας μᾶλλον ἀλγοῦσιν.


Ἐνθάδε δὴ χρὴ ἀναρριχᾶσθαι. Ποῖ οὖν ἡμᾶς ἄξει ἥδε ἡ ὁδός;
Εἴπερ πεπτωκυῖαι πέτραι τὸ στενὸν ἐμφράττουσιν, ὀλώλαμεν.


Ἔτι καὶ νῦν εὐτυχοῦμεν, ὡς ἐμοὶ δοκεῖ. Ἆ, κινηταί εἰσιν αὗται αἱ πέτραι.
Σπεῦσον δέ. Δοκῶ γὰρ βαδίζοντος ἀκούειν τινός.


Ἔα, πίπτουσιν.
Ἀᾶᾶᾶᾶ.





Ἄρ' ἤκουσας; πέτραι γὰρ ἐμοὶ ἔδοξαν πίπτειν.
Καὶ ἐμοὶ δή, παρὰ τὴν παλαιὰν κλίμακα. Ἐλθόντες οὖν σκεψώμεθα.


Μὴ ὀλισθῇς εἰς τὸ χάσμα.
Τῆς χειρός μου λαβοῦ. Ὦ, βαβαί, ἰδέ.


Δύο παῖδες, ὑπὸ ταῖς πέτραις κείμενοι, καὶ σχεδὸν παντελῶς κεκαλυμμένοι.
Ταχέως δὴ τὸν μακρὸν κάλων λαβὲ καὶ δένδρῳ τινὶ αὐτὸν ἔνδησον.


Καὶ ὀλίγῳ ὕστερον...
Νὴ Δία, τύχῃ ἐχρήσασθ' ἀγαθῇ.
Τί ποτ' ἐν τούτῳ τῷ παλαιῷ ὀρύγματι ἐποιήσατε;


Μακρότερον ἂν εἴη διηγεῖσθαι. Ὑμῖν δὲ βοηθήσασι χάριν μὲν ἴσμεν, φάσκετε δὲ ποῦ ἐστιν ἡ πλησιωτάτη τῶν Ῥωμαίων φρουρά;
Ἐκεῖ, ἄνω, ἐν τῇ ἀκροπόλει. Στρατιῶται γὰρ τὸ τῆς Ἀρτέμιδος περιτείχισμα φυλάττουσιν. Αὐτοὺς δ' ἐπὶ δεξιὰ εὑρήσετε, ἀπὸ τῶν Προπυλαίων ἐλθόντες.


Ἔτι δ' ἀποδιδόσθω χάρις.
Χαίρετε δέ.
Ἄτοπον μέντοι τοῦτ' ἔστιν.
Οὕτω γὰρ ἔσπευσαν ὥστ' οὐκ ἐλούσαντο ἐν τῇ τοῦ Πανὸς κρήνῃ.
Ἴσως τι ἠδίκησαν.



Ἦ δοῦλοι τυγχάνουσιν ὄντες οἳ ἀπέδρασαν.
Οὔ μοι δοκεῖ· στίγματα γὰρ οὐκ ἔχουσιν.



Ἀλλ' ἐξαίφνης...


?
!


Μὰ τὸν Δία, στρατιῶται νῦν ἐκβαίνουσιν...
Φύλακες τοῦ Πρωτονείου εἰσίν· ἀναγνωρίζω γὰρ τὰ κράνη αὐτῶν.


Ὁ δ' Ἄλιξ καὶ ὁ Ἔναξ ἤδη εἰς τὰ Προπύλαια ἀνέρχονται.


Καὶ ὀλίγῳ ὕστερον αὐτοὶ μὲν τυγχάνουσιν εἰσελθόντες εἰς τὸν θαυμάσιον τόπον ἐκεῖνον, τὴν Ἀκρόπολιν λέγω, παρὰ δὲ τοῖς ἐνδοξοτάτοις οἰκοδομήμασιν αὐτῆς Ἀθηναῖοι περιπατοῦσι πολλοί, οὐ προσποιούμενοι ὁρᾶν τοὺς Ῥωμαίους στρατιώτας, οἳ φυλακὴν ποιοῦσιν, ὥσπερ ἂν εἰ ὑπὸ τῆς οὕτω λαμπρᾶς πόλεως ἐμισθώθησαν.
Ἆρ' οὐ τόδε κάλλιστόν ἐστιν ἰδεῖν, ὦ Ἔναξ;


Αὐτὸ μὲν γὰρ κάλλιστον, ἡμεῖς δ' οὔ· πάντες γὰρ εἰς ἡμᾶς καταφρονητικῶς προσβλέπουσιν· οὕτω γὰρ ἀσχήμων ὑπάρχει ἡμῖν ἐσθής.
Ἄγε δέ, μὴ βραδύνωμεν, ἀλλ' ἐκείνῃ εἰς δεξιὰ ἔλθωμεν.



Ὦ Ἑκατόνταρχε, δεῦρ' ἀφίκοντο παῖδες δύο, Ῥωμαῖοι εἶναι φάσκοντες, καὶ δεόμενοι σοῦ δέχεσθαι αὐτούς.
Ἆ· τούτους οὖν εἴσαγε.


Τί δὲ τοῦτο; Βαβαί.



Πόθεν ἀφίκεσθε; Τίς οὖν ὑμᾶς οὕτως ἐκάκωσεν;
Ἐν τῷ Πρωτονείῳ ἐκινδυνεύομεν καὶ κατὰ κατάγειόν τινα ὁδὸν ἐφύγομεν.


Ἄ. Ῥωμαῖοι δῆτα πολῖταί ἐστε; Οὗτος δέ, ὦ ξανθέ, ἆρ' οὐκ ἀλλήλοις ἐνετύχομεν;
Ἴσως γάρ.


Εὖγε, Καισάριε, εἰς τὴν στοὰν αὐτοὺς ἄγαγε. Λουσαμένοις δ' αὐτοῖς καθαρὰ ἱμάτια δώσεις.


Τῇδε ἔλθετε.


Ποῦ ποτ' εἶδον ἐκεῖνον τὸν παῖδα; μεμνῆσθαι οὐ δύναμαι... Ἄ, ὡς ψευδής ἐστιν ἡ μνήμη. Ὅμως δὲ δοκῶ μοι ἐντυχεῖν ἤδη αὐτῷ, ἐν χαλεποῖς τε καὶ ἐπικινδύνοις καιροῖς..., πορρωτάτοις δέ... Οὐ μέντοι σαφῶς οἶδα...


Ἴσως δ' ἐν ἀγῶνί τινι; Μάλιστα δή. Ἤδη γὰρ ἀκριβῶς ἐπίσταμαι ὅτι ἐν περὶ ψυχῆς ἁμίλλῃ τοῦτ' ἦν. Μέμνημαι δὲ νῦν.


Πῶς ποτ' αὐτοῦ ἐπιλελῆσθαι ἐδυνήθην; Ἆ, ἆ, ἆ, ἆ.


ΑΛΙΞ


Σέ, κύον, ἀνεγνώρισα.


Τὸ πρᾶγμα σοί, ὦ Ἔναξ, ὕστερον φράσω. Ἄγε δέ, τάχα, δράμε.
Συλλάβετε τοῦτον τὸν παῖδα. Μέγιστα γὰρ ἠδίκησε καὶ μέλλει ἀδικήσειν.



Ἔα· τί ποιοῦσιν;
Φεύγουσιν· σαφῶς δέ τι ἀδικήσαντες.
Ἐκεῖ ἐστι τεῖχος οὐχ ὑψηλό-
τερον...


Αἶ, αἶ, φάραγξ τις μὲν ἥδε..
Ἐκείνῃ δ' ἴσως εὖ πράξομεν.


Εὐλαβήθητι, ΑΚΟΝΤΙΑ
ΒΑΛΛΟΥΣΙΝ.
Δεῦρο, πρόσβλεψον.


Ἀγαθῇ τύχῃ χρώμεθα· αἱ γὰρ
πέτραι αὗται προέχουσιν.


Σπεύσατε δή. Ἀποφεύξονται γὰρ
κατὰ τὰς Κλεψύδρας πήγας.


Καταπηδᾶν οὖν χρή, ὦ Ἔναξ. Ἄγε
δή.


Ἠφανίσθησαν. Πῶς δ'
ἐδυνήθησαν; Οὐ κατ' ἄνθρω-
πον τοῦτ' ἔστι.
Ἀνθρωπείῳ τρόπῳ ἢ μή,
δεῖ αὐτοὺς συλλαβεῖν.
28



Φύλακες, δοῦλοι δύο ἀπέδρα-
σαν. Ἡμῖν οὖν βοηθήσατε.



Τίνας δὴ ζητοῦσιν;
Ἀποδράντας τινὰς δούλους; Ἀλλὰ ποῦ εἰσιν;
Οὐκ οἶδα.
Ἡμεῖς οὐδένα εἴδομεν.


Ἀγαθοὶ κηπουροί... Ἀλλὰ διὰ τί ἔφυγες ἰδὼν ἐκεῖνον τὸν ἑκατόνταρχον;
Μὴ μέγα φωνήσῃς. Λοχαγὸς γὰρ ἦν οὗτος Μαρκέλλου, τοῦ στρατηγοῦ περὶ οὗπερ πρὸς σὲ εἶπον καὶ μάλ' ἠτύχησα, οὐκ εὐθὺς ὑπ' αὐτοῦ ἀναγνωρισθείς.


Ἔα. Ἐπανέλθετε. Ῥωμαῖοι γὰρ στρατιῶται λέγουσιν αὐτοὺς κατὰ τοῦ ὑψηλοῦ τείχους πηδῆσαι.
Ἀλλ' ἀδύνατόν ἐστιν.


Ἐν τῇδε τῇ ὁδῷ ἄνθρωποί εἰσιν. Χρὴ οὖν μετελθεῖν, ἵν' ἐν αὐτοῖς κρυφθῶμεν. Ἄγε δή, προσπηδήσωμεν.
Ἑτοῖμός εἰμι.


Πρόσω, δραμόντες.


Ἐκεῖ εἰσιν.


Συλλάβετε αὐτούς, καὶ τάχα.


ΠΑΚ
29


Ῥῥῥρα


Ἤ· τούτοιν ἕτερον ᾕρηκα.
Ἄναξ.





Τοῦ ποδὸς τοῦτον ἀπάλλαξον· εἰ δὲ μή...


Ἢ ἀφίῃς τοῦτον τὸν ἄνδρα ἢ ὡς κύνα σὲ ἀποκτείνω.


Ἀπέδρασαν οἱ δοῦλοι.
Ἆρα κακοῦργοί εἰσιν;
Τούτους καταλεύσατε.


Ἄφετε αὐτούς· δοῦλοι γὰρ τοῦ Πρωτονείου εἰσίν. Ἡμεῖς οὖν αὐτοὺς ἐπανάξομεν.


Ἀλλ' ἐγὼ τοὺς δούλους τούτους ἀναγνωρίζω. Εἰσὶ γὰρ οὓς ὁ Νουμᾶς Σαδοῦλος τῷ ἅρματι δεδεμένους εἵλκυσε.


Τί δῆτ' ἐνθάδε ποιοῦσι; δῆλον γὰρ ὅτι ἀπέδρασαν. Ὡς θαυμαστὸν τοῦτο.
Εἶεν· ἀμφότεροι ἴωμεν.


Καὶ ὀλίγῳ ὕστερον.
Εὖ γε πάρεστε· Τελευτῶν δ' αὐτοὺς οἷός τ' εἰμὶ κολάζειν.


Ἀλλ' οὐκ ἔστιν οὗτος ὅσπερ τούτω τὼ παῖδε τῷ ἅρματι δεδεμένω εἵλκυσε;
Τούτων οὖν οὐδέν ἐστι κύριος.


Ὁ γὰρ πρότερος δεσπότης αὐτῶν τῷ Ἰκαρίῳ ἐπέτρεψεν αὐτούς, μᾶλλον δ' ὡς ἐγῷμαι ἐπώλησεν αὐτούς. Ὥστε νυν θαρρεῖτε.
Εὖ γε.
Οὐκοῦν...



Δῆλός ἐστιν αὐτοὺς κτενῶν. Πῶς οὖν τοῦτο κωλύσω; Ποῦ δ' εἰσὶν αἱ γυναῖκες; καὶ τί τοῦτ' ἔστι;


Ναί, εἰμι.
Ἤδε ἡ φώνη Ἐρκίου ἐστί. Τί δέ ποτ' ἐνταῦθα ποιεῖ;



Οἶνον ὑμῖν φέρω, ἐκ τῆς Πάτμου ὄντα. Χαιρήσετέ γε πίνοντες.


Ὦ Ἔρκιε, ἄξιος εἶ γίγνεσθαι τοῖς θεοῖς οἰνοχόος. Εἰ δ' ὁ Ζεὺς τὸν Γανυμήδη μήπω ἥρπασε...


Τί τοῦτ' ἔστιν; Ὁ Ἀρχέλαος; πόθεν δ' εἰσῆλθεν ἐκεῖνος;
Οὐ πρέπει σοι ἡμῖν συνεῖναι. Ἄπιθι δή.
Βάλλ' εἰς κόρακας.


Μὴ τοῦτο ποιήσητε, ἀλλ' ἐμοί, πρὸς τῶν θεῶν, βοηθήσατε. Ὁ γὰρ πατὴρ τὸν Ἄλικα καὶ τὸν Ἔνακα μέλλει ἐν ταῖς τοῦ κεραμείου μεγάλαις καμίνοις καύσειν. Ταχέως οὖν. Σπεύσατε πάντες.
31


Καὶ εἶτα, ὀλίγῳ ὕστερον, πρὸ τῶν καμίνων...
Ὡς βραδεῖς ἐστε. Μᾶλλον οὖν ἐγείρετε τὴν φλόγα. Μείζω γὰρ χρόνον ἀνηλώσαμεν.


Ἔτι δὴ μακροῦ δεήσει χρόνου· οἱ γὰρ ἄνθρακες οὔπω διάπυροί εἰσιν.


Οὐκοῦν αὐτοὺς δήσατε, μάλιστα δὲ πυκνοτέραις ταινίαις τὰ στόματα συγκλείσατε, ἵνα μὴ βοῶντες ἐπικαλῶσί τινα.


Μάτην κελεύεις, ὦ Ἰκάριε· τοῖς γὰρ ὑπηρέταις καιρός ἐστί σε ἀπολείπειν, ὦ βδελυρέ, καὶ ἄλλοσε οἴχεσθαι· οὗ ἕνεκα χρυσοῦ δεόμεθα. Ὦ οὗτοι, προσελθόντες αὐτὸν λάβετε, ταχέως δέ.


Μή τοί γε, μή· ἀλλὰ παρ' ἐμοὶ μένετε·
ψευδόχρυσον τόδ' ἐστί· ἐγὼ γὰρ εὖ οἶδα.


Μὴ ἀπέλθητε· μὰ τὸν Ἅιδη, παραφρονεῖτε.


Ἵνα τούτω τὼ κακούργω σῴζωσι, πάντα τὰ χρυσία μου καταδαπανῶσι. Καὶ οἵδε οἱ φύλακες φεύγουσιν, πλήρεις χρυσοῦ τὰς χεῖρας ἔχοντες, ὥς λησταί τινες.


Ὦ Ἄλιξ, ὦ Ἔναξ· ἆρ' ἐνθάδ' ἐστέ; Ἐγὼ ἔρχομαι, ὁ Ἀρχέλαος, ὑμᾶς ἀπολύσων.


Διὰ τί τοῦτ' ἐποιήσατε; τί ποτ' ἐμὲ προὔδοτε;
Σίγα, ὦ Ἰκάριε· ἄπιθι καὶ σύ, πρὶν ἡμᾶς ὀργίζεσθαι.


Σὲ γὰρ εἰς τὸ πῦρ βάλλειν ἔπρεπε. Ἄγε νυν, ἄπιθι.
AIBOI BOI.
Ἀᾶᾶ, μεταμελήσει δ' ὑμῖν, ὦ κάκιστοι κύνες,
μεταμελήσει τούτου.


Τί οὖν τὰ νῦν; Πάνυ γὰρ ὀψὲ ἀφικνεῖσθε· Ἀλλ', οἶμαι, εὖ ἐπράξατε;
Καλλιστα δή. Τὰ δὲ λοιπὰ ἡμῶν ἔσται μόνον καὶ τοὺς ἄλλους φύλακας μισθοδωτεῖν, ἐὰν παριστῶνται.
Βαβαί, κύνες εἰσὶν οὗτοι.



Τί ποτ' ἐν τούτῳ τῷ οἰκήματι ποιοῦσιν; ποῦ δ' εἰσὶν αἱ γυναῖκες; ὡς εἰκός, ἐκέλευσαν αὐτὰς εἰς τὸν παλαιὸν γυναικῶνα ἰέναι, ὥστ' αὐτοὶ μὴ ὀχλεῖσθαι. Ἀλλὰ...


Ἀρχέλαος μετὰ τοῖν δυοῖν δούλοιν. Τούτων δ' εἰσαῦθις ἐπιμελήσομαι.


Βαβαί· ὁ Ἕρκιος. Καὶ αὐτοῖς σιτία καὶ ποτὰ προσφέρει· Ὢ ὤ, ποῖος καιρός.


Ἐν δὲ τῷ αὐτῷ χρόνῳ, ἐν τῇ Ἀκροπόλει.
Ἠθέλησαν δεῦρ' ἐλθεῖν ὁ Ῥωμαῖος Νουμᾶς Σαδοῦλος καὶ τῆς πόλεως τῆσδε ἄρχοντες δύο καὶ οἱ Σκύθαι φύλακες οὗτοι· Ὦ πρεσβευτά, ἆρ' ἐάσεις ἡμᾶς εἰς τὸ Πρωτονεῖον ἰέναι καὶ ἐξέτασιν ποιεῖσθαι καὶ τοὺς παραβαίνοντας τοὺς ἡμετέρους νόμους συλλαβεῖν;
Εἶεν· τὴν περὶ τούτου ἐξουσίαν ἔχετε, ἀλλὰ Μάρκος Οὐίκανος καὶ στρατιῶται τρεῖς ὑμῖν ἀκολουθήσουσι. Χαίρετε.



Καὶ τῆς σελήνης ἤδη λαμπούσης, εἰς τὸ ἄστυ καταβαίνει ὁ ὀλίγος λόχος.


Ἔπειτα δ' εἰς τὸ Πρωτονεῖον, μάλιστα ἥσυχον ὄν, ῥᾷστα εἰσέρχεται.


Πῇ ἀρξώμεθα; ποῖ δ' ἔλθωμεν;
Τί δέ σοι δοκεῖ ἄξιον, δεῦρο ἤδη ἐλθόντι;
Ἐκεῖ... Τί λάμπει;


ΧΡΥΣΟΣ.


Τὰ χρυσία ἐπὶ τὸ οἰκο-δόμημα τοῦτο ἄγει.
Ἄγε δή, εἰσελθόντες ἴδωμεν.


Φῶς ἔνδον ἐστί· πρόϊτε νυν.


Ἀἀἀἀ
!
?


Ἀλλὰ πάντες τεθνᾶσι· τί οὖν συνέβη;
Ἴσως δὴ μόνον καθεύ-δουσιν.
Οὐδαμῶς· ἀλλὰ κάκιστον φάρμακόν τι αὐτοὺς ἀπ-ώλεσεν, ὡς ἐμοὶ δοκεῖ.


Ἔα, σύ, τί δρᾷς αὐτόθι; οὐκ ἔπιες;
Οὐκ ἔπιον, οὔ.
Ἕρκιος· παπαῖ; τί ἔπαθες;


Τούτοις... Τούτοις ποτὰ προσέφερον, ὡς ᾔτησαν ἐμέ, ὅτε δὲ Πατμίον οἶνον ἐνέχεα, ἐκεῖνοι... Ἆ, ὡς δεινόν ἐστι, ὡς φοβερόν.
Καὶ σὺ μόνος μετ' αὐτῶν ἐν τῷ τρικλίνῳ ἦσθα; Εἶεν· ἡμῖν οὖν ἀκολουθήσεις.


Ἆρα τοῦτον συλλαμβάνεις, καίπερ παῖ-δα ὄντα;
Εἴτε νέος εἴτε πρέσβυς ὤν, ὁ ἀδικῶν τιμωρίας ἄξιός ἐστι.
Πολυάλκες, τὸν Ἄλι-κα καὶ τὸν Ἔνακα δεῖ ταχέως ἀνευρίσκειν.



Ἄλιξ; Τοῦτο τὸ ὄνομα ἦν τῷ θόρυβον ποιήσαντι ἐν τῇ ἀκροπόλει. Ποῦ δῆτ' ἐστίν;
Ὦ ἑκατόνταρχε, ἦ χαίρεις νέους διώκων ἀδικήσαντας; Ἀλλὰ γὰρ Ἄλικα καὶ ἐγὼ ζητῶ, ὡς αὐτῷ βοηθήσων.


Ὦ οὗτοι· τοῦ γὰρ Ἑρκίου Ἀθηναίου ὄντος, Ἀθηναίων δικαστῶν ἐστι περὶ αὐτοῦ δικάζειν. Ἡμεῖς οὖν αὐτὸν ἀπάγομεν.
Εἶεν· οὐ μέντοι ἔξεστιν ὑμῖν δικάζειν, λοχαγοῦ παρόντος οὐδενός. Ὑμῖν οὖν ἀκολουθῶ.


Ἐγὼ Ἰκάριός εἰμι, ὁ ταύτης τῆς οἰκίας ταμίας. Τί ποτ' ἐνθάδε ποιεῖτε; τί δ' ἐκεῖνοι οἱ συνεργοὶ ὥσπερ μεθύοντες κεῖνται;
Τεθνᾶσι.


Ἐν δὲ τῷ τῆς Δήμητρος ἄντρῳ...
Καθεύδουσιν, ὥστ' ἐμοὶ ὀλίγος ὑπάρχει χρόνος.


Καὶ γὰρ ὀλίγῳ ὕστερον.
Οὗτος ὁ Ἕρκιος δεινά που ἐπεβούλευσε... Εἰ δὲ μή, οὐκ ἂν ἀπήλλαξε τὰς γυναῖκας αἳ ἐκείνοις ὑπηρέτουν.
Ὦ Ἰκάριε, ἐν μὲν καιρῷ τὰ πράγματα διδάξεις, τήμερον δὲ ταῦτ' ἀπόχρη.
?


Τῇ δ' ὑστεραίᾳ, ἅμ' ἡλίῳ ἀνατέλλοντι, ὁ μὲν Παρθενὼν λάμπει, κάπνος δὲ πυκνὸς ἀπὸ τοῦ Πρωτονείου πόρρω ἄνεισι.



Καὶ οἱ ἄνθρωποι οἱ κατὰ τὸν Ἑλληνικὸν πάλαι νόμον τοὺς νεκροὺς καίουσιν οὐκ ἴσασιν ὅτι σοφώτατοι πάντων ἦσαν ἐκεῖνοι.


Ἐν δὲ τῷ μεταξύ, κατωτέρω...
Ἄλιξ, Ἄλιξ, ἐγείρου, **ὦ Ἄλιξ·** ἡ θύρα ἐγκέκλειται.



Τί... τί λέγεις; Ἐν τῷ τῆς Δημήτρος ἄντρῳ ἐσμέν· ἀναμνήσθητι γάρ. Ἔξοδος δέ τις εἰς τὴν Ἀκρόπολιν ἄγει· ταύτην οὖν ζητῶμεν.
Φαγόντες δ' ἀπέλθωμεν.


Νῦν δεήσει τὸν Νουμᾶν Σαδοῦλον πάλιν εὑρεῖν. Ἐκεῖνος γὰρ μόνος δύναται ἡμῖν βοηθῆσαι.
Ἴσως ἂν δύναιτο, ἀλλ' ἰδοῦ, ἡ θύρα ἀνέῳγεν.


Ἥδ' ἐστὶν ἡ κατάγειος ὁδὸς ᾗπερ πρότερον ἤδη ἐχρησάμεθα. Ὁρᾷς γάρ· δεῦρ' ἐστὶν ἡ δίοδος ἡ εἰς τὸν τῆς Ἀκροπόλεως κῆπον.
Ἔλθωμεν δή.



Καὶ ὀλίγῳ ὕστερον...
Οὐδὲν ὁρῶ, οὐδ' οὐδένα. Προιέναι οὖν ἔξεστιν.



Τέλος δέ...
Ποῦ γίγνεται τὸ πρᾶγμα;
ΗΙΤ◦ΛΙΣΤ◦



Ἐν τῷ τοῦ Διονύσου θεάτρῳ. Οἱ μὲν γὰρ ἄρχοντες εἵλοντο μᾶλλον τὸ θέατρον ἢ τὴν Πύκνα, ὅτι αὐτοὶ μὲν ἐβούλοντο τὸν ἀγῶνα δημόσιον εἶναι, οἱ δὲ Ῥωμαῖοι ἰδίῳ χρῆσθαί τινι προυτίμων. Τελευτῶντες δ' ἀλλήλοις ὡμολόγησαν, ἑλόμενοι τὸ θέατρον.
Εὖ ἐβουλεύσαντο.



Ἀλλ' εἰπέ μοι· οὗτος ὁ Ἕρκιος, ἆρ' οὐ μόνος τοῦ Πρωτόνου υἱός ἐστί;
Ναί, ἔστι. Εἰ δ' ἀποθάνοι, πάντων ἂν κληρονομήσειεν ὁ Ἰκάριος· ὃ ἂν γένοιτο μάλα ὠφέλιμον τῷ θαυμαστῷ ὑεῖ αὐτοῦ.
Ἴθι.


Ποῖ οὖν πορεύεσθε; Τί δὲ συμβαίνει;
Τοῦ Ἑρκίου καλουμένου παιδός κατηγορεῖται ὡς ἐφαρμάκευσε συσσίτους εἴκοσιν ἐν τῷ Πρωτονείῳ. Δεινὸν δὲ τὸ πρᾶγμα, καὶ τήμερον ἡ δίκη δικασθήσεται, πάντων τῶν Ἀθηναίων τούτῳ παρεῖναι σπουδαζόντων.
Πῶς δὲ δυνατόν ἐστιν;


Ἰδέ· ἐπὶ γὰρ τῷ βήματί εἰσιν ὁ Ἰκάριος καὶ ὁ Νουμᾶς Σαδοῦλος καὶ ὁ κάκιστος Μάρκος, ἑστῶτες ἀμφὶ τὸν Ἕρκιον.
Μόνος δ' ἄπεστιν ὁ Ἀρχέλαος.


Εἰ πρὸς τὸν Νουμᾶν Σαδοῦλον εὐθὺς ἔλθοιμεν, ἡμῖν δῆτ' ἂν βοηθήσειεν.
Ἄγαν δ' ἐστὶν ἐπικίνδυνον, τοῦ ἑκατοντάρχου Μάρκου ἐπὶ τῷ προσκηνίῳ παρόντος. Μᾶλλον δ' ἔλθωμεν ἀνωτέρω ἵνα ἡμᾶς μὴ ἴδῃ.


Ὀλίγῳ δ' ὕστερον...
Ἔα· προσέλθετε, ὦ παῖδες, καὶ δεῦρο καθίζετε, ὑπὸ σκιᾷ. Τάχα γὰρ ὁ ἥλιος καύσει. Ἔγωγε δὲ ποτὰ καὶ σιτία ἔχω. Ἅ, ἅ.
Ἀλλά...
Ναί, ἀφικνούμεθα.


Ἐν δὲ τῷ μεταξύ, ἐν τῷ Πρωτονείῳ...
Κάλλιστα ταῦτ' ἔχει· ἱκανὰ γὰρ τὰ μέρη ἐκεῖνα ἔσται, εἰς πολύν γε χρόνον.


Τίς γὰρ ἂν τοσαῦτα εἶναι χρήματα ἐν τῷδε τῷ θυλάκῳ ὑπονοήσειεν;



Θαυμαστὸν δ' ἐστὶν ὅτι πάντες οἱ φιλόσοφοι ἠφανισμένοι εἰσίν. Δεινά, ὡς ἐγῷμαι, συνέβη. Ἐνθάδε γὰρ καὶ ἐν τῷ τρικλίνῳ ἀκοσμία ὑπάρχει μεγάλη. Ἄγε δή, παρὰ τῶν γυναικῶν πεύσομαι.


Καὶ ἐν τῷ γυναικῶνι...
Τί τοῦτο; ἢ οὐδὲν οἶσθα; ποῦ ποτ' ἦσθα;
Ἐν τῇ νυκτὶ τῇδε φαρμάκῳ ἀπολωλότες κατελήφθησαν οἱ σοφοί. Οὐδεὶς δὲ περιεγέ-
Καὶ ὁ πατήρ σου τοῦ Ἐρκίου κατηγορεῖ.



Μόνος γὰρ ἐκεῖνος τὰ ὄψα αὐτοῖς προσήνεγκεν. Ἡμεῖς μὲν γὰρ αὐτὰ παρεσκευάσαμεν, εἶτα δ' ἀπηλλάγημεν.
Ὡς δ' ἄτοπον τοῦτο. Οἴμοι, ἄθλιος μὲν γάρ ἐστιν ὁ παῖς. Σὺ δ' ἐὰν σπεύσῃς, τῇ δίκῃ παρέσει. Πάντες γὰρ λέγουσιν ὅτι τήμερον γενήσεται, ἐν τῷ τοῦ Διονύσου θεάτρῳ. Ἡμεῖς δ' οὐκ ἴμεν.


Τάχα, τάχα δεῖ ἐμὲ παρὰ τὸν Ἄλικα καὶ τὸν Ἔνακα ἐλθεῖν καὶ αὐτοὺς ἐγείρειν. Πρῶτον μὲν γὰρ μέλλομεν κατὰ τὴν κατάγειον ὁδὸν φεύξεσθαι, ἔπειτα δὲ βουλευσόμεθα...


Εἰς δὲ τὸ τῆς Δήμητρος ἄντρον ἀφικόμενος...
Νὴ τοὺς θεούς, ἔφυγον. Ἄ, μαίνονται ἀπελθόντες· ἐμοῦ γὰρ ἀπόντος περὶ τῆς ψυχῆς κινδυνεύουσιν.



Τότε δ᾽ οὐ φροντίζων τῶν πυρῶν ἐν αἷς τὰ τῶν φιλοσόφων σώματα καίεται, ὁ Ἀρχέλαος εἰς τὴν ἀγορὰν τρέχει...


...ἣν ταχέως διαβαίνει.


Ὅτε δ᾽ εἰς τὸ τοῦ Διονύσου θέατρον ἥκει, πλεῖστοι πάρεισιν ἄνθρωποι.
Ἴσως ἂν αὐτοὺς ἀνωτάτω καταλάβοιμι.



Οἱ δ᾽ αὖ ἄρχοντες, ἐν ταῖς αὐτῶν ἕδραις καθήμενοι καὶ ἐκ πολλοῦ περιμένοντες, ἀτόπως σιωπῶσιν.


Τελευτῶντες δὲ πάντες ἀνίστανται· ὑστερίζων γὰρ ὁ πρεσβευτὴς μεγαλοπρεπῶς πάρεισιν, ὡς Ῥωμαίῳ τινὶ προσήκει.


Τότε δὲ τούτου τὴν τῆς διαδικασίας ἀρχὴν σημήναντος,


Ἐγώ, Πολυάλκης, ὁ Ἀθηναίων ἐπιμελητής, ὑπὸ τούτου τοῦ παρόντος πρεσβευτοῦ εἰάθην αὐτὸς ποιεῖσθαι τὴν ἐξέτασιν περὶ τῶν ἐν τῷ Πρωτονείῳ, ἵνα εἰδείην εἰ Ἰκάριος ὁ ταμίας δικαίως προσεφέρετο οὐ μόνον πρὸς τὸν Ἕρκιον τὸν τῆς οὐσίας κληρονόμον ἀλλὰ καὶ πρὸς τὼ δούλω ὤν...
38


Ὢ τί λέγεις· οὐκ ἀξιῶ κατηγορεῖσθαι· τέτταρες γὰρ Ῥωμαῖοι καὶ τρεῖς Ἀθηναῖοι καὶ φύλακες Σκύθαι δύο ἐμάρτυρησαν ὅτι ὁ Ἕρκιος οὗτος νυκτὸς φάρμακον ἔδωκεν ἀνθρώποις πλείοσιν ἢ εἴκοσι. Μειράκιον μὲν γὰρ ἀγαθὸν δοκεῖ εἶναι, τῷ δ᾽ ὄντι φονεύς ἐστι.


Τεκμήριον τί διδοὺς ἐκείνου ταῦτα κατηγορεῖς;
Ὁ παῖς οὗτος μόνος μετὰ τῶν συνδείπνων ἔμεινεν. Αἱ γὰρ γυναῖκες αἵπερ εἰώθασιν αὐτοῖς ὑπηρετεῖν ἀπηλλάγησαν καὶ εἰς τὸν γυναικῶνα ἀπεπέμφθησαν.



Τί δέ ποτ' ἐποίουν ἐκεῖνοι ἐν τῷ Πρωτονείῳ;
Ἐγὼ δὴ τοὺς φιλοσόφους συνέλεξα τούτους ἵνα νέας τέχνας περὶ τῶν ἀγγείων εὕροιεν. Πολλὰ γὰρ ἐν τοῖς πλοίοις κατάγνυται· ἠλπίσαμεν οὖν βεβαιοτέραν ὕλην εὑρεθήσεσθαι.


Καὶ ταῦτα πάντ' ἐγὼ ἐποίησα ὥστε μείζω τὴν οὐσίαν ἀπολείπειν τῷ Ἑρκίῳ, ὡς ἀγαθοῦ ταμίου ἐστίν. Καὶ νῦν ὡς μισθὸν κακίαν ἀπολαμβάνω, μηχανὰς δὲ δεινοτάτας, μάλιστ' ἀδίκως.



Εὐλαβήθητε, ὦ ἄνδρες δικασταί, καὶ σκοπεῖτε τίς ὑπὸ τούτου τοῦ φόνου ὠφελεῖται· τοῦ γὰρ Ἑρκίου ἠφανισμένου, οὐδὲν ἐμποδών ἐστι τῷ Ἰκαρίῳ μὴ οὐ δεσπότην γενέσθαι τῆς οἰκίας.


Διαβολαὶ μὲν αὗται· τούτου δὲ ταῦτα λέγοντος, μικρὸν θαυμάζω, ἐπεὶ τὸν χρόνον διατρίβει φυλάττων τοὺς νέους τοὺς γυμναζομένους.
Ἀλλὰ ἐμὸν ἔργον τοῦτ' ἔστιν, ὦ κάκιστε ἀνδρῶν.


Σιγᾶτε δ' οὖν. Ἤδη γὰρ τοῦ παιδὸς ἀκοῦσαι βουλόμεθα.


Ἔγωγε οὐδένα ἀπέκτεινα. Φάρμακον δέ πού τις ἐνέχεεν εἰς τὸν οἶνον ὅνπερ ἐκείνοις τοῖς ἀθλίοις προσήνεγκον. Προσέτι δ' οὗτος μόνος τὴν τοῦ οἰνῶνος κλεῖν ἔχει καὶ οὐδενὶ ἔξεστιν ἀμφορέα αὐτοῦ ἄκοντος ἀνενεγκεῖν.
39


Ὦ, κύον. Ἔτι καὶ νῦν ἐμοῦ κατηγορεῖς. Ἐὰν δ' οἱ δικασταὶ μὴ σοῦ καταγνῶσιν, ὡς ἄξιος εἶ, τόθ' οἵ γε θεοὶ σὲ κολάσουσιν· οὐ γὰρ ἀδικίαν τοιαύτην οἴσουσιν.


Ὡς ἀναιδὴς οὗτος.
Τοὺς δ' Ὀλυμπίους θεοὺς ἀληθῆ λέγων μαρτύρομαι, οὐκ ἀξιῶν αὐτοὺς ἐᾶν παῖδα δολερὸν ἀβλαβῆ φανερῶς ὄντα πρεσβύτην διώκειν καὶ ποιεῖν αὐτὸν ὑποπτεύεσθαι.


Πῶς τολμᾷς; ψευδῆ γὰρ λέγεις.


Οὐ μόνον γὰρ ἐβουλήθης εἰς τὴν τοῦ Πρωτονείου κάμινον ἡμᾶς καταβαλεῖν ἀλλὰ καὶ τολμᾷς παιδὸς κατηγορῆσαι.
Ἀδικεῖς, ὦ Ἰκάριε.


Οἴμοι, ἐκείνου ἐπελαθόμην.
Ἄλιξ



Τοῦτον δὴ συλλάβετε. Μοχθηρὸς γὰρ παῖς οὗτός ἐστιν. Θορύβου γὰρ μεγάλου ἐν τῇ Ἀκροπόλει αἴτιός ἐστι καί...


Σίγα, ὦ Ἑκατόνταρχε. Σοὶ γὰρ οὐ προσήκει τὸ πρᾶγμα τόδε. Ὅταν οὖν σ' ἐρωτήσῃ τις τῶν δικαστῶν, τότε μόνον ἔξεσται λέγειν.
Ἀλλά...


Ὦ Ἄλιξ, ἆρ' οὐ θετὸς μὲν υἱὸς εἶ τοῦ Ὀνόρου Γαλλᾶ, σοὶ δὲ παρὰ τῷ Δολαβελλᾷ ἐγὼ ἐνέτυχον;
Ταῦθ' οὕτως ἔχει, καὶ ἐν τῇ Ῥώμῃ ἐκείνῳ τῷ γένει συνῴκησα.



Τί δέ ποτ' ἐν τῷ Πρωτονείῳ ἐποίεις, ὥστ' ἐκεῖνος σοὶ ἐπεβούλευσεν;
Δοῦλοι γενόμενοι, ἐν τῷ Πειραιεῖ ἐωνήθημεν ἐγὼ καὶ ὁ Ἔναξ ουτοσί· καὶ τῷ Ἰκαρίῳ παρεδόθημεν ἵνα μάθωμεν τὴν κεραμείαν.


Δεῦρο κατάβηθι· πολλοῦ γὰρ ἀξίας μελλούσης εἶναι τῆς μαρτυρίας σου, σὲ δεῖ ἤδη ἐν τῷ προσκηνίῳ καθῆσθαι.


Χρησιμώτατον γὰρ ὅπλον ἔσται. Τοῦτο λαβὲ καὶ σχές.



Τοῦτο γὰρ χειρὶ πιέσας, κέντρον τι ὀξὺ καὶ φαρμάκῳ κεχριμένον ποιήσεις προΐεσθαι· ἀποθανεῖται δὲ διὰ ὀλίγου χρόνου ὄντινα ἂν τούτῳ τιτρώσκῃς.



Σὺ δέ, ὦ Ἄλιξ, ἆρα δύνασαι ἡμῖν λέγειν ὅπως, Ῥωμαῖος ὤν, ὡς δοῦλος ἐπωλήθης; Τί δέ ποτ' Ἰκάριος εἰς τὸ πῦρ σε βαλεῖν ἐβουλήθη;
Ἴσως οὗτος ἐφοβήθη μὴ ἐγώ τε καὶ ὁ ἑταῖρος τὰ ἡμαρτημένα αὐτῷ ἐλέγξαιμεν. Τὰ δ' ἄλλα τὸν Νουμᾶν Σαδοῦλον ἔρεσθε. Οὗτος γὰρ ἡμᾶς ἐπρίατο.


Ναί, ἀληθῆ λέγει. Ἐμοὶ γὰρ ὑπὸ τῶν Ῥωμαίων προσετάχθη πάντα γιγνώσκειν περὶ τοῦ Πρωτονείου. Ἐγὼ οὖν ἔγνων τούτους τοὺς παῖδας τῷ Ἰκαρίῳ ἐπιτρέπειν, καὶ ὀρθῶς, ἐπειδὴ τὸ πρᾶγμα νῦν ἐν τῷ φανερῷ ἐστι. Ἐπηγγειλάμην δ' αὐτοῖς, ἐμοὶ βοηθήσασι, ἀπελευθερώσειν. Καὶ τῶν δικαστῶν τινες, νῦν παρόντες, μαρτυρεῖν περὶ τούτου δύνανται.


Ἔα· ἆρ' εἰσόμεθά ποτε τὴν περὶ τούτων ἀλήθειαν;
Πολλοὶ γὰρ ἤδη ἀποτεθνᾶσι καὶ πολλοὺς ἔτι οἶμαι ἀποθανεῖσθαι.


Ἠκούσατε· ὀλιγαρχικοὶ συνωμόται ἐμοὶ μετοίκῳ ὄντι ἐπιβουλεύουσι, ἀμύνοντες τῷ πονηρῷ παιδὶ τούτῳ, Ἀθηναίῳ πολίτῃ καὶ εὐγενεῖ ὄντι. Καλὸς μὲν γὰρ κἀγαθὸς δοκεῖ εἶναι, μοχθηρὸς δὲ τῷ ὄντι ἐστί.



Τούτῳ δὲ πῶς δεῖ πιστεύειν· ἐπέμφθη γὰρ Ἀθήναζε ἐπὶ κατασκοπῇ.


Ἀμφιβόλως γοῦν προσφέρεται ὁ Ἄλιξ.
Τί γὰρ ἂν ὁ Ἰκάριος τοὺς φιλοσόφους ἀπέκτεινεν, οὓς πολλοῦ μετεπέμψατο;



Τί ποιήσεις, ὦ πρεσβευτά;
Ἔν γε τῷ παρόντι, οὐδέν.


Ἀναίτιοί εἰσιν ὁ Ἄλιξ καὶ ὁ Ἔναξ. Ἰκάριος γὰρ φονεύς ἐστι.


Ὁ Ἰκάριος ἐμὸς πατήρ ἐστι. Μάλα μὲν οὖν λυποῦμαι αὐτὸν αἰτιώμενος, χαλεπῶς δὲ φέρω ἰδὼν αὐτὸν μὲν ἄλλα ἀδικοῦντα, ἀναιτίους δὲ παῖδας κατηγορημένους.
Ἀρχέλαος;
Πῶς δυνατόν ἐστι τοῦτο;


Ἀληθῆ λέγω· σὺ γὰρ τοὺς ταλαντάτους φιλοσόφους ἐν τῷ τρικλίνῳ ἀπέκτεινας, οὐκέτ' αὐτοῖς πιστεύων. Ποῦ γὰρ ἂν ὁ Ἕρκιος φάρμακον ηὗρεν; Σὺ δ' ἐν κρυφαίῳ τόπῳ τινὶ ληκύθους θανασίμων ποτῶν μεστὰς σῴζεις.


Ὦ Ἀρχέλαε· πῶς τολμᾷς; ὦ φίλον τέκνον, ὃ μάλιστ' ἔστεργον καὶ σοὶ τοσαῦτ' ἠργασάμην. Σοῦ γὰρ ἕνεκα κράτος τε καὶ χρήματα ἐκτησάμην· καὶ ἐν τῷ παρόντι σύ με προδίδως, τοῦ σκοποῦ οὕτως ἐγγὺς ὄντος; Ἆἆἆ
Τὸν παῖδα ἀπόκτεινον... Σπεῦσον... Τῷ κέντρῳ χρώμενος.



Ὦ Ἕρκιε, φίλον παιδίον, ἆρ' ἤκουσας· ἆρ' οὐ ταῦτα μάλ' ἀναίσχυντα;


Ἆ
Τί οὖν τοῦτο;
Οὐδέν· σφὴξ δήπου τις... Οἶμαι γὰρ ἀναπετόμενον ἰδεῖν ἕνα


Ὡς αἰσχρὸν τοῦτο· υἱὸς γάρ τις τοῦ πατρὸς κατηγορεῖ.
Αἴσχιστον δή.
Κατάβηθι, ὦ Ἀρχέλαε, ἡμῖν φράσων. Ἄγε νυν.


Οὐ, μὰ τὸν Δία, οὐκέτ' ἂν λέγοιμι οὐδέν. Χαλεπώτερα γὰρ ἤδη εἶπον.
42


Ὦ Ἕρκιε, εὐλαβήθητι.
Παπαῖ.


Τί ἔπαθες, ὦ Ἔρκιε; ἆρα νοσεῖς;
Ἄφ... ἄφες με προσ... ελθεῖν πρός... τόν...


... τὸν τῶν Αἰγυπτίων... βασιλέα...


Τότε δέ, τοῦ Ἀθηναίου παιδὸς τὴν ὀρχήστραν σφαλλομένου διελθόντος, ἐξαίφνης σιγᾷ ἡ ἐκκλησία.


Ἔρκιε, ὦ Ἔρκιε, τί συνέβη;
Ἔναξ, ὦ ὦ ὦ, Ἔναξ


Σοί... τῷ βασιλεῖ... εἰπεῖν... ἐβουλήθην... οἴμοι... συγγνώμην αἰτοῦμαι... Ἀἀἀ


Ἀσθενεῖ.
Οὐκ, ἀλλ' ἀποτέθνηκεν.
Τί λέγεις;


Τί οὖν τοῦτον ἀπέκτεινας; Τὸν γὰρ ξανθὸν παῖδα ἔδει ἀπολέσαι.
Ἀναγκαῖον ἦν.
43


Ἀκούσατε, ἀκούσατε πάντες· οἱ γὰρ θεοὶ ἐμοὶ εὐχομένῳ ὑπήκουσαν δικαίως ἀποκτείναντες τοῦτον τὸν πονηρὸν παῖδα. Εὐθὺς δὲ καὶ τὸν Ἀρχέλαον κολάσουσιν, ὃν ὥσπερ μειράκιον ἐσκεύασα, κόρη δὲ τυγχάνει οὖσα· οὐ γὰρ καλεῖται Ἀρχέλαος, ἀλλ' Ἀρχέλαυα.















Οἱ δὲ θεώμενοι περὶ οὐδενὸς ποιοῦνται τὸν ἐν τῷ προσκηνίῳ ἀποθνήσκοντα...



...ἀλλ' εἰς τὸν παῖδα πάντες ἅμα ἐστρέψαντο ὥσπερ ἂν εἰ ἕκαστος αὐτῶν πατὴρ αὐτοῦ ἦν, καὶ χεῖρες ἀνίστανται πλεῖσται, τοῦτον εἰς τὸν οὐρανὸν φέρουσαι.







Κινεῖται δ' ὁ ὄχλος ὡς τὰ τῆς θαλάττης μακρὰ κύματα, τὸν παῖδα ὡς θεοῖς δωρεὰν ἀνωτάτω φέρων.



Ὦ Ἔναξ, βέλτιον ἦν πρὸς τὸν Νουμᾶν Σαδοῦλον προσελθεῖν.
Ὕστερόν γ' εἴσιμεν. Ἐν δὲ τῷ παρόντι εἰς τὴν Ἀκρόπολιν ἄγωμεν τόνδε τὸν φίλον, ἡμῖν ἐπικουρήσαντα. Μόνος γὰρ ἐκεῖνος ἐμὲ βασιλέα ὠνόμασεν.



Ὦ οὗτος, Μάρκε Οὐίκανε, ἀναξίως λοχαγοῦ προσηνέχθης. Σὲ οὖν κελεύω ὡς τάχιστα ἀπελθεῖν εἰς τὸ τοῦ Θαλάδου στρατόπεδον. Ἐκεῖ δ' ἐμμενεῖς ἕως ἂν οἱ στρατηγοί σε κρίνωσι.



Ὦ Φῶκε Ἀλβανέ, τὰ ὅπλα αὐτοῦ ἀφελοῦ καὶ αὐτὸν εἰς τὸ στρατόπεδον ἄγε. Σὺ δέ, Ἀχιλλεῦ Κρίσον, ζήτησον τοὺς Ῥωμαίους παῖδας, τὸν Ἄλικα καὶ τὸν Ἔνακα. Ἔπειτα δὲ σπουδάσεις ὅπως εἰς Ῥώμην εὐτυχέστατα ἐπανίασιν.
Σοὶ δῆθ' ὑπακούσομαι, ὦ πρεσβευτά.



Ὁ δὲ Νουμᾶς Σαδοῦλος εἰς ἡμᾶς οὐδὲν ἀνήνεγκεν. Ὥσπερ οὖν ἡμῶν ἠμέλησεν, οὕτω καὶ αὐτοῦ ἀμελήσομεν.



Μεταξὺ δὲ τούτων, ἡ θαυμαστὴ πομπὴ τὰ τῆς Ἀκροπόλεως Προπύλαια διελθοῦσα εἰς τὸν Παρθενῶνα εἰσέρχεται...



... τέλος δ' ἐφίσταται.
Ὦ Ἀθηνᾶ, ὦ Πολιάς, μετ' εὐνοίας αὐτὸν δεξαμένη εἰς τὰ Ἠλύσια πεδία ἄγε, ἵνα μακάριος ἀεὶ ζῇ.




Ἐν δὲ τοῖς βάθροις τοῖς τοῦ Διονύσου θεάτρου ἤδη κενοῖς οὖσιν...
Ὦ δυστυχὲς παῖ, νῦν ἔρημος κεῖσαι... Οὕτω γὰρ ἔχει ἡ τύχη· ὁ μὲν εἰς ὕψος αἴρεται, ὁ δὲ κακὰ πάσχει. Ἡ γὰρ Ἀνάγκη πάντα ἰσορροποῦντα κατέστησεν.


















Τέλος δέ, ἅμ' ἡλίῳ δυομένῳ, σιγᾷ τὸ μέγα θέατρον. Καίπερ δ' ἀπὸ τῆς θαλάττης πνέουσα, ἡ αὔρα τὴν πόλιν οὐκ ἀναψύχει. Τραγικῷ δὲ τρόπῳ ὁ τοῦ Ἰκαρίου νεκρὸς ἔρημος καὶ ἐλεινὸς κεῖται... Πάντα ἤδη σιωπᾷ.

ΤΕΛΟΣ

Termes de civilisation

Acropole : région haute des anciennes cités grecques, comportant des fortifications et des sanctuaires.

Agora : mot qui signifie assemblée des citoyens puis place publique. De très nombreux petits commerçants se pressent sur le marché, l'agora. Des cloisons séparent les quartiers réservés à chaque marchandise. le marché a lieu en plein air. Les paysans de l'Attique viennent y vendre leur huile d'olive, leurs fruits. Les Thébains viennent pour vendre leur gibier, leurs volailles, leurs poissons. On y rencontre des bouchers, des charcutiers, des boulangers, des marchands de fromage, des parieurs de combat de coqs... Enfin, c'est là aussi qu'on vend des esclaves aux enchères.

Centaure : être ailé hybride d'homme et de cheval. L'art grec utilise fréquemment le motif du Centaure pour le décor de vases et d'orfèvrerie. A partir du V^{e} siècle av. J.-C., les luttes de Centaures contre les Lapithes deviennent un des thèmes favoris du décor des temples (métopes du Parthénon).

Centurion : celui qui commande une compagnie de 100 hommes.

Esclave : d'origine diverse : prisonniers de guerre qu'on a vendus, enfants volés et vendus par les pirates, enfants « exposés » par leurs parents, fils d'esclaves... Certains étaient affranchis par un bon maître ou rachetaient leur liberté avec leur pécule. Ils pouvaient alors dépouiller les insignes de l'esclavage, laisser croître leurs cheveux, allonger leur nom.

Gymnase : endroit destiné aux exercices corporels, où l'on s'entraîne nu. Les premiers gymnases naissent à Athènes au V^{e} siècle. Ce sont à l'origine des établissements situés dans des lieux boisés et pourvus d'eau. Les jeunes gens s'y exercent entre autres au maniement des armes sous la direction des gymnasiarques assistés des pédonomes, pédotribes et épimélètes. Peu à peu les gymnases se dotent de palestres, de salles diverses et deviennent des centres de formation intellectuelle (des professeurs y donnent des cours, des savants et des voyageurs y donnent des conférences).

Gynécée : appartement réservé aux femmes. Les femmes y vivaient, y recevaient leurs amies et s'y livraient à leurs travaux (tissage...). La femme d'une maison aisée règne en sa maison mais n'en sort que pour certaines cérémonies religieuses, pour des raisons familiales (enterrements, mariages), ou pour des visites. Quand son mari recevait, elle évitait de se manifester.

Métèque : étranger qui « habite avec » les citoyens. Il n'a aucune part à l'administration de la cité, ne peut posséder de terre en Attique, doit avoir un patron qui répond de lui, et participe à toutes les charges de la cité et paie en outre un impôt supplémentaire.

Les Longs Murs : au sud-ouest de la ville d'Athènes, les murs fortifiés qui relient l'enceinte à ses ports (Phalère et Le Pirée).

Pnyx : Colline située à l'ouest d'Athènes, servant de lieu de réunion pour l'assemblée du peuple. La tribune était taillée dans le roc.

Propylées : porches monumentaux qui précédaient les grands sanctuaires grecs et constituaient leur entrée.

Triclinion : pièce de la maison servant de salle à manger et ainsi nommée du fait de la présence de trois lits de table placés en fer à cheval, avec un passage au centre pour le service.

Pistes pédagogiques

Les indications qui suivent n'ont qu'une valeur indicative et ne sont que des propositions à adapter au niveau et aux souhaits de la classe.



- Etudiez la répartition de la population à Athènes : citoyens, métèques, esclaves.
- Comment étaient répartis les pouvoirs à Athènes à cette époque ?
- Comment se présente l'esclavage dans les albums d'Alix ? Que faisaient les esclaves dans la Grèce ancienne ?
- Quelles étaient les relations entre les Romains et les Grecs ?
- Représentez les différentes étapes de la construction de l'Acropole sur un axe chronologique. A qui sont destinés les temples et les monuments ? A qui est due l'architecture de l'Acropole ? Constituez un dossier.
- Etudiez les méthodes de fabrication des vases à l'époque du récit. Reproduisez divers types de vases grecs et examinez les thèmes de leur décoration.
- Dans ce récit, les savants engagés par Hykarion reprennent les théories de certains personnages réels sur les atomes. Lesquels ? Que dit la thèse la plus poussée ? Certains porte-parole de l'auteur prétendent que la science de l'atome pourrait devenir dangereuse. Avaient-ils raison ?
- Montrez en quoi les lois de l'époque étaient peu favorables aux filles et aux femmes.
- Comment se pratiquait la religion grecque ? Tout le monde a-t-il le droit de pénétrer dans les lieux sacrés ? Qu'étaient les mystères ? Expliquez l'évolution de ce mot dans la langue française.

Postface

Lorsque, au début de l'année scolaire, Madame RINGELE, professeur de Lettres classiques, me fit part de son intention de s'attaquer, avec son groupe d'élèves hellénistes de 2e année, à la traduction en grec ancien de l'ouvrage « ALIX, L'ENFANT GREC » de J. Martin, cela me sembla être une utopie.

Je pensai alors (en grec !) :
Αἰαῖ, ποιήσουσιν ὥσπερ δυνήσονται...
Mais bien vite il fallut se rendre à l'évidence : le dynamisme du professeur et l'enthousiasme de nos jeunes élèves furent tels que l'on put raisonnablement envisager la réalisation du projet, à savoir la publication de la traduction.

Cela aura été une expérience hors du commun pour nos jeunes, qui tout au long d'une année ont acquis avec ardeur un vocabulaire varié et une grande partie des subtilités de la grammaire grecque non parce que cela leur était imposé mais parce qu'ils en ressentaient le besoin au hasard de la traduction.

Ce fut également un encouragement pour les éducateurs de constater qu'il est toujours possible de motiver nos élèves pour quelque chose qui n'est pas du domaine de la facilité : Οὐκ ἂν δύναιο μὴ καμὼν εὐδαιμονεῖν.

Et quelle publicité pour notre petit Collège de type rural, de l'Académie de STRASBOURG, situé en Alsace Bossue, aux confins de l'Alsace et de la Lorraine ! (Peut-être serait-il utile de le repérer sur une carte à la manière d'un certain village gaulois !)


Il ne reste plus qu'à souhaiter que la lecture de cet ouvrage, qui est avant tout une production à but pédagogique faite par des élèves débutants, soit pour le lecteur un exercice utile et dynamisant.

J'adresse les plus vives félicitations aux élèves hellénistes de la classe de 3e et à leur professeur. Je remercie tout particulièrement Monsieur SCHILLING, Inspecteur Pédagogique Régional, qui dès le début a soutenu l'action entreprise, Mme GUGLIELMI, professeur de Lettres classiques, et Mme GEORGET-DUBOIS, professeur à la Faculté de Lettres de STRASBOURG, qui ont accepté de relire les épreuves en respectant au maximum le travail des élèves, M. J. MARTIN, qui a bien voulu autoriser la traduction de son ouvrage, et les Etablissements CASTERMAN qui en ont rendu possible la publication.

F. RITTER
Principal du Collège de DRULINGEN.

Imprimé en Belgique par Casterman, s.a., Tournai. Dépôt légal : septembre 1988 ; D. 1988/0053/9.
Déposé au Ministère de la Justice, Paris (loi n° 49.956 du 16 juillet 1949 sur les publications destinées à la jeunesse)

ISBN 2-203-32104-0



Une classe d'élèves passionnés s'est amusée
à traduire en grec cette histoire d'Alix.

A vous, à présent,
de retrouver la meilleure version en français.
Un bon exercice, non ?



ISBN 2-203-32104-0
1675

